L. gr. 557 c-1

H. Thiersch. 1829.
aus München.

Hülfsbücher

zur

Erlernung des Griechischen,

nach den

beyden Grammatiken der griechischen Sprache

von

Friedrich Thiersch.

Erster Theil,

welcher griechische und deutsche Beyspiele über Formenlehre und Syntax, nebst den nöthigen Wortregistern und größern Uebungsstücken zum Uebersetzen in beyde Sprachen enthält.

Leipzig, bey Gerhard Fleischer.

1822.

BAYER. STAATSBIBL. MÜNCHEN

BAYER.
STAATSBIBL.
MÜNCHEN

Vorrede.

Indem ich den ersten Theil der Hülfsbücher, welche die Vorrede zur zweyten Auflage der kleinern griechischen Grammatik 1819 angekündigt, später als ich gehofft hatte, den Freunden meiner Lehrbücher und der in ihnen begründeten Methode des griechischen Sprachstudiums übergebe, wird es nöthig seyn, mich mit ihnen über Einrichtung und Gebrauch derselben zu verständigen. Das wird um so leichter seyn, weil ich da, wo jene Lehrbücher Eingang gefunden haben und diesen Hülfsbüchern den Zugang eröffnen werden, vielleicht überall auf freyes Wohlwollen, den schönsten Lohn eines unbefangenen wissenschaftlichen Bemühns, und im Ganzen auf Uebereinstimmung der Ansichten rechnen darf. Denn wer anderes Sinnes ist, bleibt wohl außer dem Kreise, in den hier das Erlernen des Griechischen eingeschlossen ist, und geht auf den gewohnten Wegen und den, wie uns scheint, weniger geebneten Heerstraßen nach jenen Auen und Hainen, die von der Herrlichkeit des alten Hellas übrig geblieben sind, unbekümmert um uns, oder befehdend

was wir glauben und lehren, ein jeder wie ihn Geist und Sinn treibt und lenkt *).

Uebrigens würde ich mit diesem ersten Theile der Hülfsbücher noch über das dritte Jahr hinaus im Rückstande geblieben seyn, wenn ich mir nicht einige junge und rüstigere Arbeiter in diesen Anfangsgründen beygesellt hätte; die jedoch nach meiner Anleitung verfahren sind und das Beygetragene dem Urtheile des Herausgebers unterworfen haben, so daß Einheit der Ansicht und Behandlung, als die wahre Nothdurft solcher Bücher, überall ist aufrecht erhalten und bewahrt worden.

Dieser erste Theil enthält aber

1. Beyspiele über die Formenlehre der griechischen Sprache S. 1 bis 28.

Auf 28 Seiten ist hier, wie ich meine, gerade genug zusammengetragen, um in den frisch erlernten Formen einen hinlänglichen Grad von Uebung der Erkenntniß und Anwendung zu begründen. Nicht für jeden Fall braucht es eines Beyspiels, da in dieser Vereinzelung leicht Ueberdruß erzeugt wird, und das Uebergangene sich im Fortgange bey dem Spätern von selbst nachholt und ergänzt. Der Gebrauch dieser Beyspiele kann sogleich nach Erlernung der er-

*) Verwundersam ist übrigens, daß, während unter den Landesgenossen diese Lehre des Griechischen sich in bescheidenen Grenzen hält und langsam ausbreitet, sie in einem ihrer Hauptheile, in der Formenlehre, über den Rhein nach Frankreich ist verpflanzt worden, und nach Beschluß der obersten Studienbehörde zu Paris dem griechischen Unterricht in den Schulen jenes Reichs ist zum Grunde gelegt worden, das für neue Ansichten, zumal wenn sie von uns kommen, nicht eben zugänglich und empfänglich ist. Dieses führe ich an, nicht um mich dessen zu überheben, oder ähnliches van irgend einer Seite in Deutschland zu begehren. Jenes wäre ungehörig, und dieses gegen das Verfahren nach eigner freyer Ueberzeugung, welche nirgends nöthiger ist als für Urtheilsfähige im Gebiet des Unterrichts, sondern der Fall soll nur dienen, um denen, welche bey den Lehren der genannten Grammatiken von Unanwendbarkeit geredet, in dem Urtheil der Männer jenes Volks, dem noch Niemand Einsicht in das Anwendbare abgesprochen, ein nicht zu verachtendes Zeugniß entgegenzustellen.

sten Declination beginnen, und so dem Einüben der Formen nach der Grammatik überall auf dem Fuße nachtreten. Unter den Text sind nur neben den in ihm vorkommenden und dem Lehrling noch unbekannten Formen die Stammformen gesetzt, unter denen jene im Register sollen aufgesucht werden. Dort findet sich jedesmal die nöthige Erläuterung eingetragen. Dieses Verfahren wurde deshalb beobachtet, weil der Lernende nicht früh genug an den Gebrauch des Wörterbuches gewöhnt werden kann, weil das, was er darin aufsuchen muß, besser haftet, als was ihm auf offener Hand entgegengehalten wird, und weil gleich vom Anfange die Mühe des Aufschlagens durch die Erläuterung des ihm Schwierigen belohnt werden soll.

2. Beyspiele über die Syntax der griechischen Sprache von Franz Höger S. 29 bis 70.

Diese Beyspielsammlung ist auf dieselbige Art und nach denselben Ansichten wie die vorhergehende über die Formenlehre von einem meiner fleißigsten und sorgfältigsten Zuhörer zusammengetragen worden. Unter dem Texte sind die Quellen angegeben zum Nachschlagen und zur weitern Belehrung, wenn es nöthig, und als Gewähr, daß alles aus alten Schriftstellern entnommen ist. Uebrigens können sie in derselben Art, wie die vorhergehenden bey der Formenlehre, bey Einübung der Syntax gebraucht werden, so daß die Erklärung der Regeln mit Uebersetzung und Erklärung der Beyspiele gleichen Schritt hält. Billig aber wird der griechischen Syntax in den Schulen ein zusammenhängender und genauer Vortrag gewidmet. Die Gründlichkeit des Studiums gebietet durchaus, von der früher nur zu sehr verbreiteten Versäumniß dieses Gegenstandes und der zerstreuten, für das Einzelne auf Gelegenheit wartenden Erklärung seiner Hauptpuncte abzugehen. Die guten Folgen werden demjenigen, welcher das Gehörige auf die rechte Art thut, auch hier bald und überraschend sichtbar seyn.

3. Griechisch-deutsches Wortregister über die Beyspiele zur Formenlehre der griechischen Sprache S. 71 bis 118.

In dieses Verzeichniß, dessen Einrichtung oben ist beschrieben worden, wurden die Wörter, welche in den Beyspielen über die Syntax neu vorkommen, nicht aufgenommen, weil vorausgesetzt wird, daß beym Gebrauch desselben zum Verständniß der Beyspiele über

die Formenlehre der Anfänger sich die nöthige Uebung zum Gebrauch eines vollständigen Wörterbuchs, an das er sodann für alle künftige Zeit gewiesen bleibt, erworben und zugleich Worte genug gelernt hat, um es nicht gar zu oft nachschlagen zu müssen.

4. Beyspiele über die Syntax zum Uebersetzen aus dem Deutschen in das Griechische, von Franz Höger S. 119 bis 166.

5. Deutsch-griechisches Wortregister über die Beyspiele zum Uebersetzen aus dem Deutschen in das Griechische S. 167 bis 234.

Diese Beyspiele wurden sämmtlich aus alten Schriftstellern gewählt, damit nicht durch Einmischung selbst gemachter, wie es in andern Sammlungen geschehen, Ungriechisches in Ansicht und Ausdruck aufgenommen, und dadurch die Erlernung des Eigenthümlichen griechischer Reden mehr gestört und befahrdet, als befördert würde; eben deshalb ist die Uebersetzung dem Grundtext so treu als möglich nachgebildet, die Anführungen aber sind, um Unterschleif zu verhüten, weggelassen worden. Nur beym ersten Paragraph sind die griechischen Wörter neben die zu übersetzenden deutschen unter dem Texte, als in einer Vorübung, angegeben, bey den folgenden aber nur selten oder nicht, sondern in das Wortregister zusammengestellt worden. Zeitersparniß und Erleichterung sind nirgend das Erste und Wichtigste, worauf der Unterricht auszugehen hat. Nur solche, die im schnellern Auffassen eben so schnell vergänglicher Massen von Begriffen und Vorstellungen das Heil des Unterrichts suchen, können dieser Meinung seyn. In dem Maase, als ein Verfahren zum Nachdenken und zur Besinnung nöthiget, ist es gut, auch haftet ein jedes Erlernte nur nach dem Maase der Besinnung und des Nachdenkens, mit welchem es aufgefaßt wird, zum Theil auch der Mühe, die mit der Auffassung verbunden ist. Das Alles aber, Nachdenken, Besinnung und Mühe, und so auch die Folgen davon werden in diesem Falle ausgeschlossen, wenn das nöthige Wort gleich unter dem Text angeboten wird, und diejenigen, welche dazu rathen, thun gleiches mit jenen, die beym Lesen der Alten selbst dem Anfänger Fibeln oder Uebersetzungen in die Hand geben. Daß aber Zeitersparniß und Erleichterung beym Unterricht da, wo es ohne Verletzung der bezeichneten Rücksichten geschehen kann, nicht nur nicht

zu verwehren, sondern sogar Pflicht, und deren Unterlassung eine Sünde gegen die Jugend sey, muß zugleich wohl beherziget werden. Uebrigens kann die Uebersetzung der deutschen Beyspiele mit der Erklärung der Paragraphen der Syntax, zu welcher sie gehören, und mit der Uebersetzung der griechischen Beyspiele im vorhergehenden Abschnitte gleichen Schritt halten.

6. Vermischte Beyspiele zur Uebung im Uebersetzen aus dem Griechischen in das Deutsche S. 235 bis 256.

7. Vermischte Beyspiele zur Uebung im Uebersetzen aus dem Deutschen in das Griechische von Franz Höger S. 257 bis 279.

Beyde Abschnitte sind über das ursprünglich angenommene Maas des Buchs eine Zugabe, berechnet für die Zeit, wo die Erklärung der Syntax und die sie begleitenden Uebungen im Uebersetzen des Griechischen und Deutschen beendigt sind, ohne daß noch die zusammenhängende Lesung eines Schriftstellers angefangen hat. Es können also die griechischen als ein Uebergang dazu betrachtet werden. Die deutschen aber sind berechnet, um dieselbe Zeit unter den Augen des Lehrers, also an öffentlichen Anstalten in der Classe selbst, in das Griechische übersetzt zu werden. Da deshalb die ihnen bestimmte Zeit auf jeden Fall beschränkt ist und seyn muß, und jede Abkürzung der Arbeit ein Gewinn für den mündlichen Unterricht ist, so sind, allein in Rücksicht hierauf, bey diesem Abschnitte die griechischen Wörter unter dem Texte angegeben worden.

Sind diese Uebungen beendigt, so kann man, im Fall sie nur mit gehöriger Sorgfalt angestellt und geleitet wurden, eine hinlängliche Vorbereitung zu Uebersetzung zusammenhängender Werke als vorhanden annehmen, und jeder längere Aufenthalt im Stückwerke und abgebrochenen Erzählungen wird als Schaden und Verlust, und als Störung höherer Zwecke des classischen Unterrichts zu betrachten seyn. Selbst den Uebungen im Uebersetzen aus dem Deutschen in

das Griechische wird sofort am füglichsten ein zusammenhängendes deutsches Werk zum Grunde gelegt, was um so weniger Anstand haben kann, da jetzo für diese Uebungen durch gute Hülfsmittel, wie durch das schätzbare deutsch-griechische Wörterbuch von Friedrich Rost, hinlängliche Fürsorge getroffen ist.

München, den 8ten April 1822.

F. Thiersch.

1.

Beyspiele

über

die Formenlehre der griechischen Sprache.

§. 1.

Erste Deklination.

(Kleine Grammatik §. 30. Große Grammatik §. 51.)

1. Singul. der weiblichen Nomina.

1. Πηγὴ καὶ ῥίζα καλοκἀγαθίας ἡ νόμιμος παιδεία. — 2. Ἡ παιδεία πρὸς ἀρετὴν καὶ εὐδαιμονίαν φέρει. — 3. Ἀναρχίαν ἔνιοι ἐλευθερίαν ἀπαιδευσίᾳ νομίζουσι. — 4. Τύχη τέχνην ὤρθωσεν, οὐ τέχνη τύχην. — 5. Περὶ τὴν τοῦ σώματος ἐπιμέλειαν διττὰς εὗρον ἐπιστήμας οἱ ἄνθρωποι, τὴν ἰατρικὴν καὶ τὴν γυμναστικὴν, ὧν ἡ μὲν τὴν ὑγίειαν, ἡ δὲ τὴν εὐεξίαν ἐντίθησιν.

2. Singul. der männlichen und zusammengezogenen.

1. Γοργίας τὴν τραγῳδίαν εἶπεν ἀπάτην. — 2. Ὡς ἡδὺ δούλῳ δεσπότου χρηστοῦ τυχεῖν. — 3. Ἑρμῇ τῷ ψυθυριστῇ τιμὴν ἦγον οἱ Ἀθηναῖοι. — 4. Πίνδαρος τὸν Δία ἀριστοτέχνην εἶπεν. — 5. Ἀναξαγόραν μὲν ἡ ἰωνικὴ φιλοσοφία, Πυθαγόραν δ' ἡ ἰταλικὴ μεγίστους εἶχεν. — 6. Ἡ μουσικὴ εὕρημά ἐστιν Ἀθηνᾶς.

---

§. 1. 1, 3. νομίζουσι von νομίζω. — 4. ὤρθωσεν von ὀρθόω. — 5. τοῦ σώματος von τὸ σῶμα, διττὰς von διττὸς, εὗρον von εὑρίσκω, ἐπιστήμας von ἐπιστήμη, οἱ ἄνθρωποι von ὁ ἄνθρωπος, ὧν von ὅς ἥ ὅ, ἐντίθησι von ἐντίθημι.

2, 2. ἡδὺ von ἡδυς, δούλῳ von δοῦλος, χρηστοῦ von χρηστός, ή, όν, τυχεῖν von τυγχάνω. — 3. ἦγον von ἄγω. — 4. τὸν Δία von ὁ Ζεύς, εἶπεν von εἶπον. — 5. μεγίστους von μέγας, εἶχεν von ἔχω. — 6. ἐστίν von εἰμί.

3. Dual und Plural.

1. Χρύσης, θυγατέρα παρ' Ἀχαιῶν λυσόμενος, πάντας μὲν ἐλίσσετο, Ἀτρείδα δὲ μάλιστα δύω. — 2. Αἱ μὲν ἡδοναὶ φθαρταί· αἱ δὲ τιμαὶ ἀθάνατοι. — 3. Χρυσὸς ἀνοίγει πάντ', ἀλλ' οὐκ Ἀΐδου πύλας. — 4. Ἔλεγεν Ἀριστοτέλης, τῆς παιδείας τὰς μὲν ῥίζας εἶναι πικράς, γλυκεῖς δὲ τοὺς καρπούς. — 5. Ἡ παιδεία ἐν μὲν ταῖς εὐτυχίαις ἐστὶ κόσμος, ἐν δὲ ταῖς ἀτυχίαις καταφυγή. — 6. Μήτε ἐν ταῖς εὐπραγίαις περιχαρής, μήτε ἐν ταῖς συμφοραῖς περίλυπος ὕπαρχε. — 7. Τῶν οἰκετῶν ὁ μὲν δύο μνῶν ἄξιός ἐστιν, ὁ δὲ πέντε μνῶν, ὁ δὲ καὶ δέκα.

§. 2.

Zweyte Deklination.

(Kl. Gramm. §. 31. Gr. Gramm. §. 52. und §. 33.)

1. Singul. der Nomina.

1. Ὁ λόγος ἔργου εἴδωλόν ἐστιν. — 2. Ὁ ἀδόλεσχος πανταχοῦ ληρεῖ, ἐν ἀγορᾷ, ἐν θεάτρῳ, ἐν περιπάτῳ, καθ' ἡμέραν, νύκτωρ. — 3. Πλάτων δούλῳ λίχνῳ καὶ βδελυρῷ θυμωθεὶς τὸν τῆς ἀδελφῆς υἱὸν Σπεύσιππον καλέσας, τοῦτον, ἔφη, σὺ ἀπελθὼν κρότησον, ἐγὼ γὰρ πάνυ θυμοῦμαι.

3, 1. θυγατέρα von θυγάτηρ, Ἀχαιῶν von Ἀχαιός, λυσόμενος von λύω, πάντας von πᾶς, ἐλίσσετο von λίσσομαι, μάλιστα von μάλα. — 2. φθαρταὶ von φθαρτός, ἀθάνατοι von ἀθάνατος. — 3. ἀνοίγει von ἀνοίγω, πάντ' st. πάντα von πᾶς, ἀλλ' st. ἀλλά. — 4. ἔλεγεν von λέγω, εἶναι von εἰμί, γλυκεῖς von γλυκύς, τοὺς καρποὺς von ὁ καρπός. — 6. ὕπαρχε von ὑπάρχω.

§. 2. 1, 1. ἐστὶν von εἰμί. — 2. ληρεῖ von ληρέω. — 3. θυμωθεὶς von θυμόω, καλέσας von καλέω, τοῦτον von οὗτος, ἔφη von φημί, ἀπελθὼν von ἀπέρχομαι, κρότησον von κροτέω, θυμοῦμαι von θυμόω.

2. Dual.

1. Ἀδελφὼ ὁ θεὸς ἐποίησε ἐπὶ ὠφελείᾳ ἀλλήλοιν. — 2. Φρόνησις καὶ ὑγίεια δύο μεγίστω εἰσὶ τοῦ βίου ἀγαθώ.

3. Plural.

1. Ἔπαινοι καὶ ψόγοι πάσης εἰσὶν αἰκίας ὠφελιμώτεροι ἐλευθέροις. — 2. Ἡ ἀττικὴ γῆ σῦκα φέρει καὶ ἔλαιον καὶ ἴων στεφάνους. — 3. Πάντα τὰ ἀνθρώπινα σφαλερά. — 4. Τῶν Αἰγυπτίων τοῖς μὲν ἱεροί εἰσιν οἱ κροκόδειλοι, τοῖς δ' οὔ. — 5. Διδασκάλους ζητητέον τοῖς τέκνοις, οἳ καὶ τοῖς βίοις εἰσὶν ἀδιάβλητοι καὶ τοῖς τρόποις ἀνεπίληπτοι καὶ ταῖς ἐμπειρίαις ἄριστοι.

4. Zusammengezogene.

1. Περὶ τὸν Ἄθω ἐπικίνδυνον τὸν πλοῦν προσδέχου. — 2. Ἡ φύσις τῷ λαγῷ ποδωκίαν ἔδωκεν. — 3. Νεῦρα καὶ ὀστᾶ ἀνθρώπου φθαρτὰ, ὁ δὲ νοῦς ἀθάνατος. — 4. Τοὺς νεὼς τοῖς θεοῖς προσήκει καθιεροῦν.

§. 3.

Dritte Deklination.

(Kl. Gramm. §. 33. Gr. Gramm. §. 54. bis §. 60.)

1. Nomina muta.

1. Μία χελιδὼν ἔαρ οὐ ποιεῖ. — 2. Πάντα ὁ χρόνος πρὸς φῶς ἄγει. — 3. Πέλοπι υἱοὶ ἦσαν Ἀτρεὺς καὶ Θυέστης. — 4. Πολλὰ ἀνθρώποις παρ' ἐλ-

---

2, 1. ἐποίησε von ποιέω. — 2. μεγίστω von μέγας, εἰσὶ von εἰμί.

3, 1. πάσης von πᾶς, εἰσὶν von εἰμὶ, ὠφελιμώτεροι von ὠφέλιμος — 2. φέρει von φέρω. — 3. πάντα von πᾶς. — 4. εἰσὶν von εἰμί. — 5. ζητητέον von ζητητέος, und dieses von ζητέω, εἰσὶν von εἰμὶ, ἄριστος von ἀγαθός.

4, 1. προσδέχου von προσδέχομαι. — 2. ἔδωκεν von δίδωμι. — 4. προσήκει von προσήκω, καθιεροῦν von καθιερόω.

§. 3. 1, 1. ποιεῖ von ποιέω. — 2. πάντα von πᾶς, ἄγει von ἄγω. — 3. ἦσαν von εἰμί. — 4. πολλὰ von πολὺς, ἐγένον-

πίδα ἐγένοντο. — 5. Ὦ μοῖρα, τῶν κακῶν κυνηγέτι. — 6. Γυναικὶ κόσμος ὁ τρόπος, οὐ τὰ χρυσία. — 7. Οἱ τέττιγες εὐφωνότατοι λέγονται εἶναι. — 8. Μυρμήκων καὶ μελισσῶν βίος πολύπονός ἐστι. — 9. Παρὰ τοῖς Μεγαλοπολίταις ἐστὶν Ἀθηνᾶς ἱερὸν ἐπίκλησιν Μαχανίτιδος, ὅτι βουλευμάτων ἐστὶν ἡ θεὸς παντοίων καὶ ἐπιτεχνημάτων εὑρέτις. — 10. Δεῖ προςεζεῦχθαι τοῖς παισὶ τὴ ναἰδῶ καὶ φιλοτιμίαν, ὡς τοῖς ἵπποις μύωπα καὶ χαλινόν.

2. Nomina liquida.

1. Γιγνώσκει φὼρ τὸν φῶρα καὶ λύκος λύκον. — 2. Σαλμωνεὺς ἦν υἱὸς Αἰόλου τοῦ Ἕλληνος τοῦ Δευκαλίωνος. — 3. Τί χρησιμώτερον πυρός; — 4. Ἁλῶν χρῆσις καὶ ἐν σπονδαῖς ἦν.

3. Nomina pura.

1. Οὐ κτῆσις, ἀλλ' ἡ χρῆσις τῶν βιβλίων ὄργανον τῆς παιδείας ἐστίν. — 2. Πολλοὶ πόσιος καὶ βρώσεώς εἰσιν ἑταῖροι. — 3. Ἡ μὲν φύσις ἄνευ μαθήσεως τυφλὸν, ἡ δὲ μάθησις δίχα φύσεως ἐλλιπές. — 4. Δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται. — 5. Καλοῦ γήρως θεμέλιον ἐν παισὶν ἡ τοῦ σώματος εὐεξία. — 6. Ὁ χρόνος τῷ γήραι προςτιθεῖ τὴν ἐπιστήμην. — 7. Πολλαὶ ἦσαν αἱ τῆς βούκερω Ἰοῦς πλάναι. — 8. Δημάδης εἶπε τὴν αἰδῶ τοῦ κάλλους ἀκρόπολιν εἶναι. — 9. Τὼ πόδε πεποιημένω εἰσὶ

το von γίγνομαι. — 6. Γυναικὶ von γυνή. Bey κόσμος fehlt ἐστὶ, ist. — 7. εὐφωνόταται von εὔφωνος, λέγονται von λέγω, εἶναι von εἰμί. — 8. ἐστὶ von εἰμί. — 9. ἐπίκλησιν Acc. mit dem Beynamen. — 10. δεῖ von δέω, προςεζεῦχθαι von προςζεύγνυμι.

2, 1. Γιγνώσκει von γιγνώσκω. — 2. ἦν von εἰμί. — 3. χρησιμώτερον von χρήσιμος.

3, 1. ἐστὶν von εἰμί. — 2. πολλοὶ von πολὺς, εἰσὶν von εἰμί. — 4. πεσούσης von πίπτω, ξυλεύεται von ξυλεύομαι. — 6. προςτιθεῖ von προςτίθημι. — 7. ἦσαν von εἰμί. — 8. εἶναι von εἰμί. — 9. πεποιημένω von ποιέω, συνεργεῖν von συνερ-

πρὸς τὸ συνεργεῖν ἀλλήλοιν. — 10. Νόμος γονεῦσιν ἰσοθέους τιμὰς νέμειν. — 11. Οἱ Λακεδαιμόνιοι ἐκ τοῦ φανεροῦ νικῶντες τοὺς πολεμίους θύουσι τῷ Ἄρει ἀλεκτρυόνα, ὅταν δὲ στρατηγήματι, βοῦν. — 12. Τὸ ἄγκιστρον τοὺς ἰχθῦς θηρεύει, ἡ δὲ κολακεία τὸν εὐήθη.

4. Nomina auf Ρ.

1. Ἀνὴρ ἄνδρα καὶ πόλις πόλιν σώζει. — 2. Γαστρὸς πειρῶ πᾶσαν ἡνίαν κρατεῖν. — 3. Χεὶρ χεῖρα νίπτει. — 4. Κριτίας καὶ Ἀλκιβιάδης ἄνδρε φιλοτιμοτάτω ἐγενέσθην. — 5. Ἐπαμεινώνδας ὡς ἀληθῶς ἐν ἀνδράσιν ἀνὴρ ἦν.

5. Gemischte Beyspiele der dritten Deklination.

1. Οἱ Λακεδαιμόνιοι τοὺς μὲν τὰς ἀσπίδας ἀποβαλόντας ἠτίμαζον, τοὺς δὲ τὰ κράνη καὶ τοὺς θώρακας οὔ. — 2. Κύρνος κάλλιστον ἔχει λιμένα καὶ πόλεις δύο ἀξιολόγους, οἱ δ᾽ ἐγχώριοι τροφαῖς χρῶνται γάλακτι καὶ μέλιτι καὶ κρέασι. — 3. Ἔλεγεν ὁ Ἰφικράτης, χερσὶ μὲν ἐοικέναι τοὺς ψιλοὺς, ποσὶ δὲ τὸ ἱππικὸν, αὐτὴν δὲ τὴν φάλαγγα στέρνῳ, κεφαλῇ δὲ τὸν στρατηγόν. — 4. Ὁ κόλαξ ἀλλοτρίοις χρώμασι καὶ σχήμασι χήτει οἰκείων κοσμεῖται. — 5. Γέρων γέροντι γλῶσσαν ἡδίστην ἔχει, παῖς παιδὶ

γέω. — 10. νέμειν von νέμω. — 11. νικῶντες von νικάω, θύουσι von θύω. Nach ὅταν δὲ ist ausgelassen νικῶσι, sie siegen. — 12. θηρεύει von θηρεύω.

4, 1. σώζει von σώζω. — 2. πειρῶ statt πειράου von πειράομαι, κρατεῖν von κρατέω. — 3. νίπτει von νίπτω. — 4. φιλοτιμοτάτω von φιλότιμος, ἐγενέσθην von γίγνομαι. — 5. ἦν von εἰμί.

5, 1. ἀποβαλόντας von ἀποβάλλω, ἠτίμαζον von ἀτιμάζω. — 2. κάλλιστον von καλὸς, ἔχει von ἔχω, χρῶνται von χράομαι. — 3. Ἔλεγεν von λέγω, ἐοικέναι von εἴκω. — 4. κοσμεῖται von κοσμέω. — 5. ἡδίστην von ἡδὺς, ἔχει von ἔχω.

καὶ γυναικὶ πρόσφορον γυνή. — 6. Αἱ τῶν πολλῶν διαλέξεις καὶ μελέται σοφιστῶν οὐ μόνον τοῖς ὀνόμασι ὡς περιπετάσμασι χρῶνται τῶν διανοημάτων, ἀλλὰ καὶ τὴν φωνὴν ἐμμελείαις τισὶ καὶ μαλακότησι ἐφηδύνοντες παραφέρουσι τοὺς ἀκροωμένους.

§. 4.

Gemischte Beyspiele aller drey Deklinationen.

1. Nomina im Singul.

1. Ἔφασκεν ὁ Θαλῆς χάριν ἔχειν τῇ τύχῃ· πρῶτον μὲν ὅτι ἄνθρωπος ἐγένετο καὶ οὐ θηρίον· εἶτα ὅτι ἀνὴρ καὶ οὐ γυνή· τρίτον ὅτι Ἕλλην καὶ οὐ βάρβαρος. — 2. Ἔλεγεν ὁ Πιττακὸς ἀλήθειαν ἔχειν, πίστιν, ἐμπειρίαν, ἐπιδεξιότητα, ἑταιρίαν, ἐπιμέλειαν. — 3. Ἐφόδιον ἀπὸ νεότητος εἰς γῆρας ἀναλάμβανε σοφίαν.

2. Nomina im Plural.

1. Πάντες οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως θύραις παιδεύονται. — 2. Ἡ φιλοσοφία διδάσκει, πῶς θεοῖς, πῶς γονεῦσι, πῶς πρεσβυτέροις, πῶς νόμοις, πῶς ἀλλοτρίοις, πῶς ἄρχουσι, πῶς φίλοις, πῶς τέκνοις, πῶς οἰκέταις χρηστέον ἐστίν. — 3. Οἱ πλούσιοι εὐδαιμονίζουσι τοὺς σατράπας, οἱ δὲ σατράπαι τοὺς βασιλεῖς, οἱ δὲ βασιλεῖς τοὺς θεούς. — 4. Σέβονται οἱ Αἰγύπτιοι ἔνια τῶν ζώων καθ' ὑπερβολὴν, οὐ ζῶντα μόνον, ἀλλὰ καὶ τελευτήσαντα,

---

—6. χρῶνται von χράομαι, ἐφηδύνοντες von ἐφηδύνω, παραφέρουσι von παραφέρω, ἀκροωμένους von ἀκροάομαι.

§. 4. 1, 1. ἔφασκεν von φάσκω, ἔχειν von ἔχω, ἐγένετο von γίγνομαι. — 2. ἔλεγεν von λέγω. — 3. ἀναλάμβανε von ἀναλαμβάνω.

2, 1. ἀρίστων von ἀγαθὸς, παιδεύονται von παιδεύομαι. — 2. διδάσκει von διδάσκω, ἄρχουσι von ἄρχω. — 3. εὐδαιμονίζουσι von εὐδαιμονίζω. — 4. σέβονται von σέβομαι, ζῶν-

οἷον τούς τε αἰλούρους καὶ τοὺς ἰχνεύμονας καὶ κύνας, ἔτι δὲ ἱέρακας καὶ τὰς καλουμένας παρ' αὐτοῖς ἴβεις· πρὸς δὲ τούτοις τούς τε λύκους καὶ κροκοδείλους καὶ ἕτερα τοιαῦτα πλείω.

3. Beyde Numeri gemischt.

1. Ὑριεὺς, Ποσειδῶνος υἱὸς καὶ Ἀλκυόνης μιᾶς τῶν Ἄτλαντος θυγατέρων, ᾤκει ἐν Ταν άγρᾳ τῆς Βοιωτίας. — 2. Ἀλέξανδρος εἶχεν ἐν ἑαυτῷ εὐσέβειαν περὶ θεοὺς, πίστιν πρὸς φίλους, εὐτέλειαν, ἐγκράτειαν, εὐποιΐαν, ἀφοβίαν πρὸς θάνατον, εὐψυχίαν, φιλανθρωπίαν, ὁμιλίαν εὐάρμοστον, ἀψευδὲς ἦθος, τάχος ἐν πράξεσι καὶ ἔρωτα δόξης.

§. 5.

Adjektive und Adverbien.

(Kl. Gramm. §. 34. bis §. 40. Gr. Gramm. §. 61. bis §. 72.)

1. Beyspiele vom Positiv.

1. Πᾶν τὸ σκληρὸν χαλεπῶς μαλάττεται. — 2. Ὁ λόγος ἀληθὴς καὶ νόμιμος καὶ δίκαιος ψυχῆς ἀγαθῆς καὶ πιστῆς εἴδωλόν ἐστιν. — 3. Ποίημά ἐστι λέξις ἔμμετρος τὸ λογοειδὲς ἐκβεβηκυῖα. — 4. Βίου δικαίου γίγνεται τέλος καλόν. — 5. Βέβαιον οὐδέν ἐστιν ἐν θνητῷ βίῳ. — 6. Αὐτάρκους ἔραμαι βίου. — 7. Χρυσοῦν ἐστι πρᾶγμα ἡ ἐρημία. — 8. Ὁ οὐρανὸς χαλκοῦς ἐστι τὰ ἔξω. — 9. Ὁ ἐγκρατῶς καὶ μετ' αἰδοῦς ἀκούειν

τα von ζάω, τελευτήσαντα von τελευτάω, καλουμένας von καλέω, πλείω statt πλείονα von πολύς.

3, 1. ᾤκει von οἰκέω. — 2. εἶχεν von ἔχω.

§. 5. 1, 1. μαλάττεται von μαλάττω. — 3. ἐκβεβηκυῖα von ἐκβαίνω. — 4. γίγνεται von γίγνομαι. — 9. ἀκούειν von

ἐθισθεὶς τὸν μὲν ὠφέλιμον λόγον ἐδέξατο καὶ κατέσχεν, τὸν δὲ ἄχρηστον ἢ ψευδῆ μᾶλλον διεῖδε, φιλαλήθης φανεὶς, οὐ φιλόνεικος, οὐδὲ προπετὴς καὶ δύσερις. — 10. Ἔθιζε σαυτὸν σύννουν εἶναι. — 11. Κάστωρ ἐστὶ ζῶον τετράπουν ἐν λίμναις γιγνόμενον. — 12. Ἔλεγεν ὁ Βίας, ἀτυχῆ εἶναι τὸν ἀτυχίαν μὴ φέροντα. — 13. Ἡ φιλοσοφία διδάσκει, ὅτι δεῖ μήτ' ἐν ταῖς εὐπραγίαις περιχαρεῖς ὑπάρχειν, μήτ' ἐν ταῖς ὀργαῖς περιπαθεῖς καὶ θηριώδεις. — 14. Πῶς ἢ ἀχάριστοι, ἢ ἀμελεῖς, ἢ πλεονέκται, ἢ ἄπιστοι, ἢ ἀκρατεῖς ἄνθρωποι δύναιντο ἂν φίλοι γενέσθαι. — 15. Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς. — 16. Νόμοις ἕπεσθαι τοῖς ἐγχωρίοις καλόν. — 17. Κρεῖττόν ἐστι μετ' ὀλίγων ἀγαθῶν πρὸς ἅπαντας τοὺς κακοὺς, ἢ μετὰ πολλῶν κακῶν πρὸς ὀλίγους ἀγαθοὺς μάχεσθαι. — 18. Δεῖ τοὺς μὲν εἶναι δυστυχεῖς, τοὺς δ' εὐτυχεῖς. — 19. Ἐλευθέρου ἐστὶν ἀνδρὸς τἀληθῆ λέγειν. — 20. Τὰ κεράμεια καὶ τὰ σιδηρᾶ κρείττω τῶν ἀργυρῶν τε καὶ τῶν χρυσῶν, ὅτι ἡ κτῆσις τούτων εὐμαρεστέρα. — 21. Ὁ πλοῦτος καὶ τὰ ἐκτὸς ἀγαθὰ χωρὶς ἀρετῆς ἀνωφελῆ εἰσι καὶ ἀνόνητα τοῖς ἔχουσι. — 22. Τῷ λόγῳ τοὺς ἑπομένους ἄξιόν ἐστι μόνους ἐλευθέρους νομίζειν. Μόνοι γὰρ ἃ δεῖ βουλεύεσθαι μαθόντες ὡς βούλονται ζῶσι. Ταῖς δὲ ἀπαιδεύτοις καὶ παραλόγοις ὀργαῖς καὶ πράξεσι ἀγεννὲς ἔνεστι καὶ μι-

---

ἀκούω, ἐθισθεὶς von ἐθίζω, ἐδέξατο von δέχομαι, κατέσχεν von κατέχω, μᾶλλον von μάλα, διεῖδε von διείδω, φανεὶς von φαίνω. — 10. Ἔθιζε von ἐθίζω, εἶναι von εἰμί. — 11. γιγνόμενον von γίγνομαι. — 12. ἔλεγεν von λέγω, φέροντα von φέρω. — 13. διδάσκει von διδάσκω, δεῖ von δέω, ὑπάρχειν von ὑπάρχω. — 14. δύναιντο von δύναμαι. — 15. νόμιζε von νομίζω. — 16. ἕπεσθαι von ἕπομαι. — 17. κρεῖττον von ἀγαθός, μάχεσθαι von μάχομαι. — 18. δεῖ von δέω, εἶναι von εἰμί. — 19. τἀληθῆ aus τὰ ἀληθῆ, λέγειν von λέγω. — 20. κρείττω st. κρείττονα von ἀγαθὸς, εὐμαρεστέρα von εὐμαρής. — 21. ἔχουσι von ἔχω. — 22. ἑπομένους von ἕπομαι, νομίζειν von νομίζω, δεῖ von δέω, βουλεύεσθαι von βουλεύομαι, μαθόντες von μανθάνω, βούλονται von βούλομαι, ζῶσι von ζάω, ἔνεστι

κρὸν ἐν πολλῷ τῷ μετανοοῦντι τὸ ἑκούσιον. — 23. Φθόνος οὐδενὶ μὲν ἔργῳ παρὼν ἀγαθὸν, ἀλλὰ πᾶσιν ἐμπόδιος τοῖς καλοῖς· κάκιστος δὲ ἀκροωμένῳ πάρεδρος καὶ σύμβουλος, ἀνιαρὰ καὶ ἀηδῆ καὶ δυςπρόςδεκτα ποιῶν τὰ ὠφέλιμα διὰ τὸ πᾶσι μᾶλλον ἥδεσθαι τοὺς φθονοῦντας, ἢ τοῖς εὖ λεγομένοις.

2. Beyspiele vom Comparativ.

1. Τίς ὄρνις εὐφωνοτέρα ἐστὶν ἀηδόνος; — 2. Ἀρετῆς οὐδὲν χρῆμα σεμνότερον, οὐδὲ βεβαιότερόν ἐστι. — 3. Αἱ δεύτεραί πως φροντίδες σοφώτεραι. — 4. Ἡ κρεώδης τροφὴ θηριωδεστέρα καὶ τοῖς ἀγρίοις ζώοις προςφορωτέρα. — 5. Πολλάκις ὁ ἐπαινῶν τοῦ ψέγοντος ἐπαχθέστερος. — 6. Βουλῆς μὲν ὀρθῆς οὐδὲν ἀσφαλέστερον. — 7. Δαρείου καὶ Παρυσάτιδος γίγνονται παῖδες δύο· πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος. — 8. Γυναῖκες ἀνδρῶν φιλοπενθέστεροί εἰσι. — 9. Οἱ γεωργοὶ τῶν σταχύων ἥδιον ὁρῶσι τοὺς κεκλιμένους καὶ νεύοντας ἐπὶ γῆς. — 10. Τὸ ἀδικεῖν κάκιόν ἐστι τοῦ ἀδικεῖσθαι. — 11. Οὐδὲν χρῆμα κάλλιον φίλου. — 12. Γνῶμαι ἀμείνους εἰσὶ τῶν γεραιτέρων. — 13. Εὔκαιρος σιγὴ παντὸς λόγου κρείττων. — 14. Δούλου χεῖρον οὐδέν. — 15. Τὸν Ἐπαμεινώνδαν τις ἐπαινῶν ἔφη μήτε πλείονα γιγνώσκοντι μήτε ἐλάτ-

---

von ἔνειμι, μετανοοῦντι von μετανοέω. — 23. κάκιστος von κακὸς, ἀκροωμένῳ von ἀκροάομαι, ποιῶν von ποιέω, μᾶλλον von μάλα, ἥδεσθαι von ἥδομαι, φθονοῦντας von φθονέω, λεγομένοις von λέγομαι.

2, 1. εὐφωνοτέρα von εὔφωνος. — 2. σεμνότερον von σεμνὸς, βεβαιότερον von βέβαιος. — 5. ἐπαινῶν von ἐπαινέω, ψέγοντος von ψέγω. — 7. γίγνονται von γίγνομαι. — 9. ἥδιον von ἡδὺς, ὁρῶσι von ὁράω, κεκλιμένους von κλίνω, νεύοντας von νεύω. — 10. ἀδικεῖν von ἀδικέω, ἀδικεῖσθαι von ἀδικέω, κρείττων von ἀγαθός. — 14. χεῖρον von κακός. Nach οὐδὲν fehlt ἐστί. — 15. ἐπαινῶν von ἐπαινέω, ἔφη von φημὶ, πλείονα von πολὺς, γιγνώσκοντι von γιγνώσκω,

τονα φθεγγομένῳ ῥαδίως ἐντυχεῖν ἑτέρῳ. — 16. Ὁ Ἀγησίλαος περὶ τοῦ μεγάλου βασιλέως εἶπεν· Τί γὰρ ἐμοῦ μείζων ἐκεῖνος, εἰ μὴ καὶ δικαιότερος; — 17. Ζήνων ὁρῶν τὸν Θεόφραστον ἐπὶ τῷ πολλοὺς ἔχειν μαθητὰς θαυμαζόμενον, Ὁ ἐκείνου μὲν χορὸς, ἔφη, μείζων, οὑμὸς δὲ συμφωνότερος.

3. Beyspiele vom Superlativ.

1. Σοφὸς Σοφοκλῆς, Εὐριπίδης σοφώτερος, ἀνδρῶν δὲ πάντων Σωκράτης σοφώτατος. — 2. Ἡ μέλιττα φυσικῶς ἐν τοῖς δριμυτάτοις ἄνθεσι καὶ ταῖς τραχυτάταις ἀκάνθαις ἐξανευρίσκει τὸ λειότατον μέλι καὶ χρηστικώτατον. — 3. Ὅπου γέροντές εἰσιν ἀναίσχυντοι, ἐνταῦθ' ἀνάγκη καὶ νέους ἀναιδεστάτους εἶναι. — 4. Πάντων ἥδιστον ἡ φιλία. — 5. Τὸ ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ πάντων αἴσχιστον. — 6. Πάντες, ἃ ἐπίστανται, ῥᾷστά τε καὶ τάχιστα καὶ κάλλιστα καὶ ἥδιστα ἐργάζονται. — 7. Μέγιστον ἐν ἐλαχίστῳ νοῦς ἀγαθὸς ἐν ἀνθρώπου σώματι. — 8. Οὐχ ὁ μακρότατος βίος ἄριστος, ἀλλ' ὁ σπουδαιότατος. — 9. Ὁ Φωκίωνος λόγος πλεῖστον ἐν ἐλαχίστῃ λέξει εἶχε νοῦν.

ἐλάττονα von σμικρὸς, φθεγγομένῳ von φθέγγομαι, ἐντυχεῖν von ἐντυγχάνω. — 16. εἶπεν von εἶπον, μείζων von μέγας. — 17. ὁρῶν von ὁράω, ἔχειν von ἔχω, θαυμαζόμενον von θαυμάζω, ἔφη von φημὶ, οὑμὸς aus ὁ ἐμὸς durch die Krasis.

3, 2. ἐξανευρίσκει von ἐξανευρίσκω. — 5. ἡττᾶσθαι von ἡττάω. — 6. ἐπίστανται von ἐπίσταμαι, ῥᾷστα von ῥᾴδιος, κάλλιστα von καλὸς, ἐργάζονται von ἐργάζω. — 7. μέγιστος von μέγας, ἐλαχίστῳ von σμικρός. — 8. ἄριστος von ἀγαθός. — 9. πλεῖστον von πολὺς, ἐλαχίστῃ von σμικρὸς, εἶχε von ἔχω.

§. 6.

Zahlwörter.

(Kl. Gramm. §. 40. Gr. Gramm. §. 73. bis §. 76.)

1. Beyspiele der Grundzahlen.

1. *Τὴν φύσιν ἡμῶν ἑκάστῳ λέγουσι δύο μὲν ὦτα δοῦναι, μίαν δὲ γλῶτταν, ὡς ἐλάττονα λέγειν ἢ ἀκούειν ὀφείλοντι.* — 2. *Ἱέρων, ὁ Συρακουσίων τύραννος, δύο καὶ ἐνενήκοντα ἐτῶν γενόμενος ἐτελεύτα νοσῶν, βασιλεύσας ἑβδομήκοντα ἔτη.* — 3. *Ἡ περίμετρος τῆς Σικελίας ἐστὶ σταδίων ὡς τετρακισχιλίων τριακοσίων ἑξήκοντα.* — 4. *Ἀριθμὸς συμπάσης τῆς ὁδοῦ τῆς ἀναβάσεως καὶ καταβάσεως τῆς ὑπὸ Ξενοφῶντος ξυγγραφείσης σταθμοὶ διακόσιοι δεκαπέντε, παρασάγγαι χίλιοι ἑκατὸν πεντήκοντα πέντε, στάδια τρισμύρια τετρακισχίλια ἑξακόσια πεντήκοντα. χρόνου πλῆθος τῆς ἀναβάσεως καὶ καταβάσεως ἐνιαυτὸς καὶ τρεῖς μῆνες.*

2. Ordnungszahlen u. a.

1. *Πρῶτον καὶ ἄριστόν ἐστιν ἀνθρώπῳ ὑγιαίνειν, δεύτερον φυὰν καλὴν ἔχειν, τρίτον πλουτεῖν ἀδόλως, τέταρτον ἡβᾷν μετὰ τῶν φίλων.* — 2. *Περίανδρος ὁ Κυψέλου Κορίνθιος ἤκμαζε περὶ τὴν τριακοστὴν ὀγδόην Ὀλυμπιάδα.* — 3. *Ἀναξίμανδρος ὁ Μιλήσιος τῷ δευτέρῳ ἔτει τῆς πεντηκοστῆς ὀγδόης Ὀλυμπιάδος ἐτῶν ἑξήκοντα τεσσάρων εἶναι λέγεται.* — 4. *Ἐτελεύτησεν ὁ Σωκράτης τῷ πρώ-*

---

§. 6. 1, 1. *λέγουσι* von λέγω, *δοῦναι* von δίδωμι, *λέγειν* von λέγω, *ἀκούειν* von ἀκούω, *ὀφείλοντι* von ὀφείλω. — 2. *γενόμενος* von γίγνομαι, *ἐτελεύτα* von τελευτάω, *νοσῶν* von νοσέω, *βασιλεύσας* von βασιλεύω. — 4. *ξυγγραφείσης* von ξυγγράφω.

2, 1. *ὑγιαίνειν* von ὑγιαίνω, *ἔχειν* von ἔχω, *πλουτεῖν* von πλουτέω, *ἡβᾷν* von ἡβάω. — 2. *ἤκμαζε* von ἀκμάζω. — 3. *εἶναι* von εἰμί, *λέγεται* von λέγω. — 4. *ἐτελεύτησεν*

τῷ ἔτει τῆς ἐνενηκοστῆς πέμπτης Ὀλυμπιάδος, γεγονὼς ἐτῶν ἑβδομήκοντα. — 5. Ἀριθμὸς ἐκ μονάδων σύγκειται. — 6. Δὶς καὶ τρὶς τὸ καλόν. — 7. Κοινοῦ κινδύνου τοῖς Ἕλλησι περιστάντος ἡ τῶν Ἀθηναίων πόλις διπλάσια τῶν ἄλλων εἰς σωτηρίαν παρέσχετο. — 8. Οἱ πεντακοσιομέδιμνοι τῆς πρώτης ἀξιώσεως ἦσαν παρ' Ἀθηναίοις. — 9. Ἡ Φαίδρα παρ' Εὐριπίδου τριταία ἄσιτος γεγονέναι λέγεται.

§. 7.

Pronomen.

(Kl. Gramm. §. 41. Gr. Gramm. §. 77. bis §. 84.)

1. Substantive Pronomina.

1. Ἐστὶν ὁ φίλος ἕτερος ἐγώ. — 2. Μέθετέ με, ὦ φροντίδες, μηδὲν ἐμοὶ καὶ ὑμῖν ἔστω. — 3. Οὐδεὶς ἡμῶν τὴν αὔριον οἶδεν ἡμέραν. — 4. Ἡμεῖς ἐσμεν ψυχὴ, ζῶον ἀθάνατον ἐν θνητῷ. — 5. Οὐδὲν οὕτως ἡμέτερόν ἐστιν, ὡς ἡμεῖς ἡμῖν αὐτοῖς. — 6. Οἱ φιλοσοφοῦντες σφίσιν αὐτοῖς ξυνεῖναι μανθάνουσι.

2. Adjektive Pronomina.

1. Ἄνθρωπον ὄντα σαυτὸν ἀναμίμνησκ' ἀεί. — 2. Ἑαυτὸν οὐδεὶς ὁμολογεῖ κακοῦργος ὤν. — 3. Εἰς ἀρχὴν κατασταθεὶς μηδενὶ χρῶ πονηρῷ πρὸς τὰς διοικήσεις. — 4. Τοιοῦτος γίγνου περὶ τοὺς γονεῖς, οἵους ἂν εὔξαιο περὶ σεαυτὸν γενέσθαι τοὺς σεαυ-

---

von τελευτάω, γεγονὼς von γίγνομαι. — 5. σύγκειται von σύγκειμαι. — 7. περιστάντος von περιΐστημι, παρέσχετο von παρέχω. — 8. ἦσαν von εἰμί. — 9. γεγονέναι von γίγνομαι, λέγεται von λέγω.

§. 7. 1, 2. μέθετε von μεθίημι, ἔστω von εἰμί. — 3. οἶδεν von εἴδω. — 4. ἐσμὲν von εἰμί. — 6. φιλοσοφοῦντες von φιλοσοφέω, ξυνεῖναι von ξύνειμι, μανθάνουσι von μανθάνω.

2, 1. ἀναμίμνησκ' von ἀναμιμνήσκω. — 2. ὁμολογεῖ von ὁμολογέω, ὢν von εἰμί. — 3. κατασταθεὶς von καθίστημι, χρῶ von χράομαι. — 4. γίγνου von γίγνομαι, εὔξαιο

τοῦ παῖδας. — 5. *Ποῖον ἄλλο κτῆμα οὕτω πάγχρηστον, ὥσπερ ὁ φίλος;* — 6. *Ἀντισθένης ἐρωτηθεὶς ὑπό τινος, τί αὐτῷ περιγέγονεν ἐκ τῆς φιλοσοφίας, ἔφη, τὸ δύνασθαι ἑαυτῷ ὁμιλεῖν.* — 7. *Πολλῶν κατορθωμάτων καὶ καλῶν ἐν μιᾷ ἡμέρᾳ τῷ Φιλίππῳ προσαγγελθέντων, Ὦ Τύχη, εἶπεν, μικρόν τι μοι κακὸν ἀντὶ τοσούτων καὶ τηλικούτων ἀγαθῶν ποίησον.* — 8. *Πύῤῥον τὸν Ἠπειρώτην οἱ υἱοὶ, παῖδες ὄντες, ἠρώτων, τίνι καταλείψει τὴν βασιλείαν· καὶ ὁ Πύῤῥος εἶπεν· Ὅστις ὑμῶν ὀξυτέραν ἔχῃ τὴν μάχαιραν.*

§. 8.

Regelmäßige Zeitwörter im Aktiv.

(Kl. Gramm. §. 42. bis §. 60. Gr. Gramm. §. 84. bis §. 105.)

1. Beyspiele der Verba muta.

(Kl. Gramm. §. 52. Gr. Gramm. §. 95.)

1. *Ἀπόλλωνα τῆς κιθάρας εὑρετὴν λέγουσιν.* — 2. *Ἄπληστον ἔχουσι κακοὶ νόον.* — 3. *Φεύγωμεν τὰ αἰσχρὰ, ὦ γεννάδαι, διώκωμεν τὰ καλά.* — 4. *Ἐθίζοιμι ἐμαυτὸν ἵλεω εἶναι.* — 5. *Τὸ πολλοῖς ἀρέσκειν σοφοῖς ἐστιν ἀπαρέσκειν.* — 6. *Ὁ Ἀριστοφάνης λέγει, ὅτι Περικλῆς ἤστραπτε δημηγορῶν.* — 7. *Θεμιστοκλῆς καὶ Ἀριστείδης ἐστασιαζέτην ἔτι παῖδε ὄντε.* — 8. *Αἰδὼς καὶ Νέμεσις τὸν ἀνθρώπινον βίον ἀπολελοίπασιν.* — 9. *Ἀρχέτιμος ὁ Συρακούσιος ὁμιλίαν τῶν ἑπτὰ σοφῶν γέγραφεν παρὰ Κυψέλῳ.* — 10. *Πνεόντων τῶν ἀνέμων ἐπεφρίκει ὁ πόντος.* — 11. *Βίας πρὸς τὸν βάσκανον ἐσκυ-*

---

von εὔχομαι, γενέσθαι von γίγνομαι. — 6. ἐρωτηθεὶς von ἐρωτάω, περιγέγονεν von περιγίγνομαι, ἔφη von φημὶ, δύνασθαι von δύναμαι, ὁμιλεῖν von ὁμιλέω. — 7. προσαγγελθέντων von προσαγγέλλω, ποίησον von ποιέω. — 8. ὄντες von εἰμὶ, ἠρώτων von ἐρωτάω, καταλείψει von καταλείπω, εἶπεν von εἶπον.

§. 8. 1, 8. ἤστραπτε von ἀστράπτω, δημηγορῶν von δημηγορέω. — 10. ἐπεφρίκει von φρίσσω.

θρωπακότα; Οὐκ οἶδα, ἔφη, πότερον σοὶ κακὸν γέγονεν ἢ ἄλλῳ ἀγαθόν. — 12. Ὁ φίλος τὸν φίλον ἀποστρέψει τῶν μὴ προσηκόντων. — 13. Ὁ σπουδαῖος οὐδὲν ἄδικον πράξει. — 14. Περικλῆς ἔπεισε τοὺς τῶν φιλτάτων θανάτους εὐθυμότερον φέρειν. — 15. Πάσας τέχνας ὁ χρόνος ἐδίδαξεν. — 16. Κἂν μόνος ἦς, φαῦλον μήτε λέξῃς, μήτε ἐργάσῃ. — 17. Ἀποθανὼν ἔφυγες κακὸν, ἐσθλῶν ἔτυχες τῶν παρὰ τοῖς θεοῖς. — 18. Πειρῶ τῆς ψυχῆς ἀθάνατον μνήμην καταλιπεῖν.

2. Verba pura.

(Kl. Gramm. §. 53. Gr. Gramm. §. 96.)

1. Ὁ θάνατος καὶ τὰ σκληρότατα λύει. — 2. Περιπλεῦσαι μὲν πολλὰς πόλεις καλὸν, ἐνοικῆσαι δὲ τῇ κρατίστῃ χρήσιμον. — 3. Ἀλέξανδρος Θήβας ἑλὼν ἐτίμησε τοὺς ἐκγόνους τοῦ Πινδάρου καὶ τὴν οἰκίαν αὐτοῦ μόνην εἴασεν ἑστάναι, ἐφόνευσε δὲ τῶν Θηβαίων παμπόλλους. — 4. Οὐ πώποτ' ἐζήλωσα πλουτοῦντα σφόδρα ἄνθρωπον ἀπολαύοντα μηδὲν ὧν ἔχει. — 5. Οἱ πονηροὶ πάντως ἔμοιγε δοκοῦσιν ἀλλήλοις ἐχθροὶ μᾶλλον ἢ φίλοι πεφυκέναι. — 6. Νικίας, ὁ ζωγράφος, οὕτως ἦν φιλόπονος, ὥστε πολλάκις ἐρωτᾶν τοὺς οἰκέτας, εἰ λέλουκε καὶ ἠρίστηκεν. — 7. Συνέβη τὸν Ὀδυσσέα καταβάντα εἰς Ἅιδου τοὺς μὲν νεκροὺς πάντας σχεδὸν ἑωρακέναι καὶ συντετυχηκέναι, τὴν δὲ βασίλισσαν αὐτὴν μὴ τεθεᾶσθαι.

---

11. οἶδα von εἴδω, ἔφη von φημί, γέγονεν von γίγνομαι. — 16. ἦς von εἰμί. — 17. Ἀποθανὼν von ἀποθνήσκω, ἔτυχες von τυγχάνω. — 18. πειρῶ von πειράομαι.

2, 2. περιπλεῦσαι von περιπλέω. — 3. ἑλὼν von αἱρέω, εἴασεν von ἐάω, ἑστάναι von ἵστημι. — 4. μηδὲ ὧν statt μηδὲν τούτων, ἅ. — 6. ἠρίστηκεν von ἀριστάω. — 7. Συνέβη von συμβαίνω, καταβάντα von καταβαίνω, ἑωρακέναι von ὁράω, συντετυχηκέναι von συντυγχάνω.

3. Verba liquida.

(Kl. Gramm. §. 54. Gr. Gramm. §. 97.)

1. *Θεμιστοκλῆς πρὸς τὸν Εὐρυβιάδην ἐν ἀντιλογίᾳ ἀνατείνοντα αὐτῷ τὴν βακτηρίαν, Πάταξον, ἔφη, ἄκουσον δέ.* — 2. *Ἀποβαλὼν τὰ φθαρτα καὶ σωματοειδῆ πρὸς τὸ ἀεὶ ὂν ἀγαθὸν συντείναις πᾶσαν ὄρεξιν.* — 3. *Οἱ τριάκοντα τύραννοι ἐπὶ τοσουτον κατέφθειραν τὴν πόλιν, ὥστε φυγεῖν Ἀθηναίων πλείους τῶν ἡμίσεων.* — 4. *Ὁ χρυσὸς ἑψόμενος ἀπέφηνε πᾶσαν αἴγλαν.* — 5. *Παρὰ τοῖς Ῥωμαίοις οἶνον πιεῖν οὐκ ἐξῆν ταῖς γυναιξί.* — 6. *Ἀφροσύνης ἐστὶ τὸ κρῖναι κακῶς τὰ πράγματα.* — 7. *Σπερῶ γύας, ὁ δὲ θεὸς αὔξησιν παρέξει.* — 8. *Ἐκάθηρε Θησεὺς τῶν κακούργων τὴν ὁδὸν τὴν ἐς Ἀθήνας ἐκ Τροιζῆνος.* — 9. *Τὴν ψυχὴν καλοῖς νοήμασι περίστειλον.* — 10. *Οὐ καταισχυνῶ τὰ ὅπλα τὰ ἱερὰ, ἀμυνῶ δὲ καὶ ὑπὲρ ἱερῶν καὶ ὑπὲρ ὁσίων.* — 11. *Καλῶς ἐπαῤῥησιάσατο ὁ Σόλων πρὸς Κροῖσον ὑπ' εὐτυχίας ἀβεβαίου διεφθαρότα, τὸ τέλος ὁρᾷν κελεύων.*

§. 9.

Regelmäßige Zeitwörter im Passiv und Medium.

(Kl. Gramm. §. 61. bis §. 66. Gr. Gramm. §. 106. bis §. 112.)

1. Präs. und Imperf.

1. *Μὴ ἀποδέχου τῶν φίλων τοὺς πρὸς τὰ φαῦλά σοι χαριζομένους.* — 2. *Ἐρωτηθείς τις Λακεδαιμονίων, τίνα νομίζει πολιτείαν ἀρίστην, ἔφη· ἐν ᾗ ἂν περὶ ἀρετῆς πλεῖστοι πολιτευόμενοι πρὸς ἀλλήλους ἄνευ στάσεως ἀγωνίζωνται.* — 3. *Ἀνέχου, ἀπέχου.* — 4. *Ἀρίστιππος ὁ Κυρηναῖος φιλόσοφος παρεκελεύετο τοῖς νέοις τοιαῦτα ἐφόδια κτᾶσθαι, ἅτινα αὐτοῖς ναυαγήσασι συνεκκολυμβήσει.*

3, 4. ἀπέφηνε von ἀποφαίνω. — 5. πιεῖν von πίνω. 7. σπερῶ von σπείρω. — 9. περίστειλον von περιστέλλω. — 11. διεφθαρότα von διαφθείρω.

2. Perf. und Plusquamperf.

1. *Δεῖ τὴν πρὸς φίλους παῤῥησίαν ἤδεῖ κεκρᾶσθαι.* — 2. *Καὶ τοῖς κωμικοῖς πολλὰ πρὸς τὸ θέατρον πολιτικὰ πεποίηται.* — 3. *Ὀρθῶς εἴρηται· Γνῶθι σαυτον καὶ πάντα κέκτησαι.* — 4. *Πεφύλαξο ταῦτα ποιεῖν, ὁπόσα φθόνον ἔχει.* — 5. *Οὐ θαυματόν ἐστιν, εἰ Κριτίας καὶ Ἀλκιβιάδης ὑπερηφάνω ἐγενέσθην, ὠγκωμένω μὲν ἐπὶ γένει, ἐπηρμένω δ' ἐπὶ πλούτῳ, πεφυσημένω δ' ἐπὶ δυνάμει, διατεθρυμμένω δὲ ὑπὸ πολλῶν ἀνθρώπων, ἐπὶ δὲ πᾶσι τούτοις διεφθαρμένω, καὶ πολὺν χρόνον ἀπὸ Σωκράτους γεγονότε.* — 6. *Ἀναξαγόρας ἰδὼν τὸν Μαυσώλου τάφον, ἔφη, λελιθωμένης ἐστὶν οὐσίας εἴδωλον.* — 7. *Ἀρίστιππος ἐρωτηθεὶς, τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων; ἔφη, Ὥιπερ οἱ δεδαμασμένοι ἵπποι τῶν ἀδαμάστων.* — 8. *Καῖσαρ ἐπέπειστο τὴν τύχην αὐτῷ συμπλεῖν, συναποδημεῖν, συστρατεύεσθαι, συστρατηγεῖν.* — 9. *Ἡ πόλις τῶν Συρακουσίων λιμέσιν ἐκεκόσμητο μεγίστοις· τεθησαύριστο δὲ αὐτῇ καὶ σῖτος εἰς ἑκατὸν μεδίμνων μυριάδας.* — 10. *Ξενοφῶντος υἱὼ Γρύλλος καὶ Διόδωρος ἐπεπαιδευσθην ἐν Σπάρτῃ.* — 11. *Πλάτων πρός τινα τῶν παίδων, Μεμαστίγωσο ἄν, εἶπε, εἰ μὴ ὠργιζόμην.*

3. Future und Aoriste des Mediums.

1. *Ἔλεγεν ὁ Βίας τὸν βίον οὕτω δεῖν μετρεῖν, ὡς καὶ πολὺν καὶ ὀλίγον χρόνον βιωσομένους.* — 2. *Πλάτων μέλλων ἀγωνιεῖσθαι τραγῳδίᾳ, Σωκράτους ἀκούσας κατέφλεξε τὰ ποιήματα.* — 3. *Ὀνήτωρ βιβλίον ἐξέδωκεν ἐπιγραφόμενον· εἰ χρηματιεῖται ὁ σοφός.* — 4. *Πᾶσαν πάντως προθυμίαν πειρᾶσθε*

---

§. 9. 2, 1. κεκρᾶσθαι von κεράννυμι. — 3. εἴρηται von ἐρέω, γνῶθι von γιγνώσκω. — 5. ἐγενέσθην von γίγνομαι, ἐπηρμένω von ἐπαίρω, διατεθρυμμένω von διαθρύπτω, γεγονότε von γίγνομαι.

3, 3. ἐξέδωκεν von ἐκδίδωμι.

ἔχειν, ὅπως ὑπερβαλεῖσθε τοὺς πρόσθεν εὐκλείᾳ. — 5. Ζήλου μὴ τοὺς μεγίστην ἀρχὴν κτησαμένους, ἀλλὰ τοὺς ἄριστα τῇ παρούσῃ χρησαμένους. — 6. Παρακευάσασθαι δυνάμεις καὶ χρήσασθαι ταύταις μᾶλλον αἱ τυραννίδες τῶν ἄλλων πολιτειῶν οἷαί τε εἰσί. — 7. Λόγισαι πρὸ ἔργου. — 8. Ἀγησίλαος ἀποθνήσκων ἐνετείλατο τοῖς περὶ αὐτὸν, μήτε πλαστὴν μήτε μιμητὴν τοῦ σώματος εἰκόνα ποιήσασθαι. — 9. Ἀναξαγόρας δοκεῖ πρῶτος τὴν Ὁμήρου ποίησιν ἀποφήνασθαι εἶναι περὶ ἀρετῆς καὶ δικαιοσύνης. — 10. Ἀρίστιππος ἐρωτώμενος, πῶς ἀπέθανε Σωκράτης; ἔφη, Ὡς ἂν ἐγὼ εὐξαίμην. — 11. Μὴ παυσαίμεθα δρῶντες εὖ βροτούς. — 12. Καὶ ἐὰν ὀχλήσεις δέξηται ὁ σοφὸς, οὐδὲν ἧττον εὐδαιμονήσει. — 13. Μενέδημος πρὸς τὸν πυθόμενον, εἰ γήμαι ὁ σπουδαῖος; ἔφη, Ἐγὼ γεγάμηκα. — 14. Φαέθων τὸ τοῦ πατρὸς ἅρμα ἐλαύνων ἐξετράπετο τῆς ὁδοῦ.

4. Future und Aoriste des Passivs.

1. Ἀνάχαρσις ἀφῖκτο εἰς τὴν τῶν Ἑλλήνων, διδαχθησόμενος ἤθη τὰ τούτων καὶ ἐπιτηδεύματα. — 2. Ἀρίστιππος ἐρωτηθεὶς ὑπό τινος, τί αὐτοῦ ὁ υἱὸς ἀμείνων ἔσται παιδευθείς; Καὶ εἰ μηδὲν ἄλλο, εἶπεν, ἐν γοῦν θεάτρῳ οὐ καθεδήσεται λίθος ἐπὶ λίθῳ. — 3. Ἔλεγεν Ἀρίστιππος, τὸν σοφὸν μήτε φθονήσειν, μήτε ἐρασθήσεσθαι. — 4. Ὁ Ἀναξαγόρας ἐρωτηθεὶς, εἰς τί γεγένηται; εἰς θεωρίαν, ἔφη, ἡλίου καὶ σελήνης καὶ οὐρανοῦ. Πρὸς τὸν εἰπόντα· Ἐστερήθης Ἀθηναίων, Οὐμενοῦν, ἔφη, ἀλλ' ἐκεῖνοι ἐμοῦ. — 5. Λέγουσί τινες, Ἀναξαγόραν ὑπ' Ἀθηναίων πέντε ταλάντοις ζημιωθῆναι καὶ φυγαδευθῆναι, ὅτι τὸν ἥλιον μύδρον ἔλεγε διάπυρον· ἄλλοι δὲ ἱστοροῦσι,

---

3, 8. ἐνετείλατο von ἐντέλλομαι. — 10. ἀπέθανε von ἀποθνήσκω. — 13. γήμαι von γαμέω. — 14. ἐξετράπετο von ἐκτρέπομαι.

4, 1. ἀφῖκτο von ἀφικνέομαι. — 4. γεγένηται von γίγνομαι.

ἀπόντα καταδικασθῆναι θανάτου. — 6. Σοφίας ὁ καρπὸς οὔποτε φθαρήσεται. — 7. Παρὰ πολλοῖς τῆς χρείας ἀναιρεθείσης καὶ ἡ φιλία φυγαδευθήσεται.

§. 10.

Zusammengezogene Zeitwörter.

(Kl. Gramm. §. 67. bis §. 70. Gr. Gramm. §. 112. bis §. 116.)

1. Verba auf —άω.

1. Τίμα γονέας, φίλους ἀγάπα. — 2. Τὸ τρυφᾶν ψυχήν τε καὶ σῶμα διαφθείρει. — 3. Πιστοὺς ἡγοῦ τοὺς τοῖς ἁμαρτανομένοις ἐπιτιμῶντας. — 4. Μίσει τοὺς κολακεύοντας ὥσπερ τοὺς ἐξαπατῶντας. — 5. Ὁ Ἀσκληπιὸς ἰᾶται. — 6. Ὁμοίως αἰσχρὸν νόμιζε τῶν ἐχθρῶν νικᾶσθαι ταῖς κακοποιΐαις καὶ τῶν φίλων ἡττᾶσθαι ταῖς εὐεργεσίαις. — 7. Πολλάκις ἂν ὁρῷς τοὺς κακοὺς εὐτυχοῦντας, οὐ μέντοι ἂν εὐδαίμονας. — 8. Οὐδὲν ἀεικές, ἐάν τις ὑπ' ἐχθρῶν ἐξαπατᾶται.

2. Verba auf —έω.

1. Λάλει καίρια. — Μίσει τὸ ταχὺ λαλεῖν. — 3. Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν. — 4. Ἐπαίνου ἄξιος ὁ τοὺς πολεμίους κακῶς ποιῶν, τοὺς δὲ φίλους εὐεργετῶν. — 5. Ὁ Σωκράτης τοῦ σώματος οὐκ ἠμέλει, τούς τε ἀμελοῦντας οὐκ ἐπῄνει. — 6. Ζημίαν αἱροῦ μᾶλλον, ἢ κέρδος αἰσχρόν. — 7. Τὸ λέγειν ὡς δεῖ τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα. — 8. Μὴ μόνον ἐπαινεῖτε τοὺς ἀγαθούς, ἀλλὰ καὶ μιμεῖσθε. — 9. Εὐλαβοῦ τὰς διαβολάς, κἂν ψευδεῖς ὦσι. Οἱ γὰρ πολλοὶ τὴν ἀλήθειαν ἀγνοοῦσι, πρὸς δὲ τὴν δόξαν

4, 5. ἀπόντα von ἄπειμι. — 6. φθαρήσεται von φθείρω.
§. 10. 1, 4. μίσει von μισέω.
2, 5. ἠμέλει von ἀμελέω, ἐπῄνει von ἐπαινέω.

ἀποβλέπουσιν. — 10. Πιστοὺς ἡγοῦ μὴ τοὺς πᾶν ὅ τι ἂν λέγῃς ἢ ποιῇς ἐπαινοῦντας. — 11. Δεῖ ἰσχυρὸν ὄντα πρᾶον εἶναι, ὅπως οἱ πλησίον αἰδῶνται μᾶλλον, ἢ φοβῶνται. — 12. Φθονοίμην ἐπ' ἐσθλοῖς.

3. Verba auf —όω.

1. Τῷ παρόντι τοὐπιὸν πιστούμεθα. — 2. Οἷον τὸ πλῆθος κακῶν, ἃ τὴν ἀνθρωπίνην ἀμαυροῖ ζωήν. — 3. Φασὶ τὸν Χείλωνα Αἰσώπου πυθέσθαι, ὁ Ζεὺς τί εἴη ποιῶν; τὸν δὲ φάναι, τὰ μὲν ὑψηλὰ ταπεινοῦν, τὰ δὲ ταπεινὰ ὑψοῦν. — 4. Εἴ τις πρὸς θεῶν κακοῦται, βαρὺ μέν, οἰστέον δ' ὅμως. — 5. Χρυσός ἐστιν ὁ δουλῶν θνητῶν φρένας, τὰς δὲ δεδουλωμένας κακῶν. — 6. Τὸν ἄνθρωπον εἰκὸς, οὐχ ὅταν ἐν ἡδονῇ βιοῖ, τότε κατὰ φύσιν βιοῦν, ἀλλ' ὅταν ἐν ἀρετῇ.

4. Gemischte.

1. Πολέμων καὶ Κράτης οὕτως ἀλλήλω ὠφελείτην, ὥστε καὶ ζῶντε οὐ μόνον τῶν αὐτῶν ἤστην ἐπιτηδευμάτων, ἀλλὰ καὶ μέχρι σχεδὸν ἀναπνοῆς ἐξωμοιούσθην ἀλλήλοιν καὶ θανόντε τῆς αὐτῆς ταφῆς ἐκοινωνείτην. — 2. Τοὺς νέους δεῖ ἐπὶ μὲν τῆς οἰκίας τοὺς γονεῖς αἰδεῖσθαι, ἐν δὲ ταῖς ὁδοῖς τοὺς ἀπαντῶντας, ἐν δὲ ταῖς ἐρημίαις ἑαυτούς.

§. 11.

Zeitwörter ohne Modusvokale.

(Kl. Gramm. §. 72. bis §. 78. Gr. Gramm. §. 117. bis §. 123.)

1. Beyspiele von ἵστημι und den Zugehörigen.

1. Ὁ μὲν ἐσθλὰ παθὼν ἵστησι χορούς. — 2. Πρὸ μέθης ἀνίστασο. — 3. Ἐν τῷ τετάρτῳ ἔτει

3, 1. τοὐπιὸν aus τὸ ἐπιὸν von ἔπειμι.
4, 1. ἤστην von εἰμί, θανόντε von θνήσκω.
§. 11. 1, 1. παθὼν von πάσχω.

τοῦ Πελοποννησιακοῦ πολέμου Λέσβος ἀπέστη ἀπ' Ἀθηναίων. — 4. Μέμνησο μετὰ τῶν φίλων στῆναι κινδύνου προσιόντος. — 5. Οἱ Ἀθηναῖοι τοῖς Ναξίοις ἀποστᾶσιν ἀπ' αὐτῶν ἐπολέμησαν. — 6. Αἰεί μοι Χαρίτων ἱερὰ παρασταίη τριάς. — 7. Κλεινὸν καὶ Ἀρχιμήδου τὸ ἔπος· Δός πῇ στῶ καὶ τὴν γῆν κινήσω. — 8. Λάκαινα πιπρασκομένη καὶ ἐρωτωμένη, τί ἐπίσταται, ἔφη, πιστὴ εἶναι. — 9. Ἑστὼς μάχου. — 10. Ἀριστῶντι Διογένει ἐν ἀγορᾷ οἱ περιεστῶτες συνεχὲς ἔλεγον· κύον, κύον· ὁ δέ, ὑμεῖς, εἶπεν, ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκατε. — 11. Οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν. — 12. Ὁ Περίανδρος ἐν Κορίνθῳ πρῶτος τὴν ἀρχὴν εἰς τυραννίδα μετέστησε. — 13. Πολλῶν ἐπιβάντες διὰ βίου φορούμεθα. — 14. Ἐς αὔριον τὰ σπουδαῖα, φαίη ἂν ὁ μεθήμων.

2. Beyspiele von *τίθημι* und den Zugehörigen.

1. Τὰ μὲν κακὰ κέρδος τίθημι εἰς ἀνδρείαν τε καὶ καρτερίαν. — 2. Ὁ Νεῖλος ἐξίησι εἰς τὴν θάλασσαν ἑπτὰ στόμασι. — 3. Ἐὰν φύσει σπουδαῖος ᾖ, πένης δέ, καταγέλαστος εἶ τοῖς πολλοῖς. — 4. Τοὺς ὑψίστους τε καὶ βελτίστους τῶν νόμων οἱ θεοὶ τιθέασι τοῖς ἀνθρώποις. — 5. Εἰς τὸ φέρτερον τίθει τὸ μέλλον. — 6. Οὐ δύναται σώζεσθαι ἡ πόλις, ἐν ᾗ ἂν τοῖς ἀδικοῦσι βοηθοῦντας τιθῶσι τοὺς νόμους. — 7. Οἱ θεοὶ αὐτοὶ Θέτιδος γάμον ἔθεσαν Πηλέως θ' ὑμεναίους. — 8. Τὸ κακὸν οὐδεὶς χρηστὸν ἂν θείη. — 9. Εὐλαβοῦ τοὺς πρὶν φίλους θεῖναι σὺν ἐχθροῖς. — 10. Χαρίλλος ὁ βασιλεὺς ἐρωτηθείς, διὰ τί νόμους ὀλίγους οὕτω Λυκοῦργος ἔθηκεν, ἀπεκρίνατο, τοὺς χρωμένους ὀλίγοις λόγοις μὴ δεῖσθαι νόμων πολλῶν. — 11. Τοῦτον τὸν νόμον ὁ θεὸς τέθεικεν· εἴ τι ἀγαθὸν θέλεις, παρὰ σαυτοῦ λαβέ. — 12. Πολλάκις τὰ πρότε-

---

1, 4. μέμνησο von μιμνήσκω, προσιόντος von πρόσειμι.

ρον φίλα πολεμιώτατα τιθέμεσθα. — 13. Πολλάκις οἱ πλεονέκται δι' ἐπιθυμίαν πλειόνων καὶ τὰ ἐν χερσὶν ὄντα προΐενται. — 14. Κῦρος τὰ πάντα τῆς ἠπείρου ὑποχείρια ποιησάμενος Ἀσσυρίοις ἐπετίθετο. — 15. Πρὸ τῆς ἐν Σαλαμῖνι ναυμαχίας οἱ πλεῖστοι τῶν Ἀθηναίων ὑπεξέθεντο γονέας καὶ γυναῖκας εἰς Τροιζῆνα. — 16. Οὐκ ἂν φίλον πότ' ἄνδρα δυςμενῆ χθονὸς θείην ἐμαυτῷ. — 17. Μηδάμ' ὁ πάντα νέμων θεῖτ' ἐμῇ γνώμῃ κράτος ἀντίπαλον Ζεύς. — 18. Λυκοῦργον τὸν Ἀθηναῖον ῥήτορα, ἐξαιτηθέντα ὑπὸ Ἀλεξάνδρου τοῦ βασιλέως, ὁ δῆμος οὐ προήκατο. — 19. Παυσανίας ὁ Λακεδαιμόνιος συνετέθειτο δι' ἀποῤῥήτων φιλίαν πρὸς τὸν βασιλέα καὶ τὴν θυγατέρα τοῦ Ξέρξου γαμεῖν ἔμελλεν, ἵνα προδῷ τοὺς Ἕλληνας.

3. Beyspiele von δίδωμι und den Zugehörigen.

1. Ὁ Ἀπόλλων δίδωσι Μοῦσαν οἷς ἂν ἐθέλῃ. — 2. Τοὺς φίλους ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν. Ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί χρὴ φίλων; — 3. Διδόασι πάντα τἀγάθ' ἀνθρώποις θεοί. — 4. Ζεῦ, δίδου μοῖραν καλῶν, Νέμεσιν δ' ἀπέρυκε. — 5. Τοῖς φίλοις διδόναι κελεύω καὶ μὴ ἀπαιτοῦσι. — 6. Αἱ πόλεις εὖ οἰκοῦνται, ὅταν οἱ ἀδικοῦντες δίκην διδῶσιν. — 7. Τὸν ὕπνον οἱ θεοὶ λήθην κακῶν ἔδοσαν ἡμῖν καὶ ἀνάπαυσιν. — 8. Λυσίμαχος πρὸς Φιλιππίδην τὸν κωμῳδοποιὸν, φίλον ὄντα καὶ συνήθη, ἔλεγε· τίνος σοι τῶν ἐμῶν μεταδῶ; Κἀκεῖνος· οὗ βούλει, πλὴν τῶν ἀποῤῥήτων. — 9. Ἃ τις μὴ ἔχει, οὐ δίκῃ ἂν ἑτέρῳ δοίη. — 10. Ὀλίγην μὲν οὖν θανοῦσιν ἀποδοῦναι χάριν, φίλην δ' ἔχουσιν οἱ βροτοί. — 11. Ἀνδρῶν γνῶναι τὸ νόημα δύςκολον. — 12. Ἀριστοτέλης ἔφη τὸν σοφὸν καὶ πολιτεύσεσθαι καὶ βασιλεῖ συμβιῶναι. — 13. Θεόφραστος ἐτελεύτα βιοὺς ἔτη πέντε καὶ ὀγδοήκοντα. — 14. Μετάδος φίλοισι σοῖσι

3, 10. θανοῦσιν von θνήσκω.

τῆς εὐπραξίας. — 15. Γνῶθι σαυτόν. — 16. Ἀφελόμενοι οἱ Ἕλληνες τοὺς Λακεδαιμονίους τὴν ἡγεμονίαν ἐν τοῖς Μηδικοῖς τοῖς Ἀθηναίοις παρέδοσαν. — 17. Ἔρωτες ὑπὲρ τὸ μέτρον ἐλθόντες οὐκ εὐδοξίαν οὔτ' ἀρετὴν παρέδωκαν ἀνδράσι. — 18 Οἱ Φοίνικες τοῖς Ἕλλησι τὰ γράμματα παραδεδώκασι. — 19. Ὁμοίως αἰσχρὸν, ἀκούσαντα χρήσιμον λόγον μὴ μανθάνειν καὶ διδόμενόν τι ἀγαθὸν παρὰ τῶν φίλων μὴ λαμβάνειν. — 20. Πυθαγόρας ἔλεγε, δύο ταῦτα ἐκ τῶν θεῶν τοῖς ἀνθρώποις δεδόσθαι κάλλιστα, τό τε ἀληθεύειν καὶ τὸ εὐεργετεῖν. — 21. Σκηπίωνα, τὸν νεώτερον, λέγουσιν ἔτεσι πεντήκοντα καὶ τέσσαρσιν, οἷς ἐβίωσε, μηδὲν πρίασθαι, μηδὲν ἀποδόσθαι.

4. Beyspiele von δείκνυμι und den Zugehörigen.

1. Οὔποτε βέβαιος ἀδίκων γενεά· ὁ γὰρ οὐδενὸς ἐκφὺς χρόνος δείκνυσιν ἀνθρώπων κακότητας. — 2. Τοῖς ἀγαθοῖς τὰ γλυκέα μιγνὺς ἴσθι πᾶσιν ἁνδάνων. — 3. Φρύγες ὅρκοις οὐ χρῶνται οὔτ' ὀμνύντες, οὔτε ἄλλους ἐξορκοῦντες. — 4. Μέμνησο παύροις δεικνύναι τἀντὸς φρενῶν. Ὅντινα δὲ πιστὸν ἐκμάθῃς, τούτῳ πτυχὰς στηθέων ἁπάσας οἶγνυε. — 5. Τίς ἂν θῆλυν ἐνδῦναι στολὴν γυναικὸς οὐκ ἂν αἰσχύνοιτ' ἀνήρ;

§. 12.

Unregelmäßige Zeitwörter.

(Kl. Gramm. §. 78. bis §. 84. Gr. Gramm. §. 123. bis §. 130.)

1) 1. Πατρίδα αὐξῆσαι χρεὼν καὶ μὴ κατάξαι. — 2. Οἱ πύκται τὰ ὦτα συγκεκομμένα εἶχον καὶ ἐαγότα. — 3. Φίλιππος αὐτὸς ἀπεφαίνετο διὰ χρυσίου πολὺ μᾶλλον, ἢ διὰ τῶν ὅπλων ηὐξηκέναι τὴν

3, 15. γνῶθι von γιγνώσκω. — 16. ἀφελόμενοι von ἀφαιρέω.

4, 5. ἐνδῦναι von ἐνδύω.

§. 12. 1, 1. αὐξῆσαι von αὐξάνω, κατάξαι von κατάγνυμι. — 2. ἐαγότα von ἄγνυμι. — 3. ηὐξηκέναι von αὐξάνω. —

ἰδίαν βασιλείαν. — 4. Ἡ γλῶσσα πολλοὺς εἰς ὄλεθρον ἤγαγεν. — 5. Λέγεται, ὡς Ἡρακλῆς κατελθὼν εἰς Ἅιδου ἀνῆλθεν ἀγαγὼν τὸν Κέρβερον. — 6. Οἷον ἄν τις βίον ἕληται ζῶν, τοσαύτης ἀξιωθήσεται μετὰ τὸν θάνατον μνήμης. — 7. Ἄνθρωποι ἐπ' οὐδένας μᾶλλον συνίσανται, ἢ ἐπὶ τούτους, οὓς ἂν αἴσθωνται ἄρχειν αὐτῶν ἐπιχειροῦντας. — 8. Ἐξ ἀγαθῆς χθονὸς ἔβλαστεν καλὰ ἄνθεμα, ἐκ δ' ὀρθῶν φρενῶν βουλεύματ' ἐσθλά. — 9. Καρκῖνος ἀναβὰς ἀπὸ τῆς θαλάσσης ἐπὶ τοῦ αἰγιαλοῦ ἐκάθητο. Ἀλώπηξ δὲ λιμώττουσα ὡς ἐθεάσατο αὐτὸν προσδραμοῦσα ἀνέλαβεν αὐτόν. Ὁ δὲ μέλλων καταβιβρώσκεσθαι, ἔφη, Ἀλλ' ἔγωγε δίκαια πέπονθα, ὅτι θαλάσσιος ὢν χερσαῖος ἠβουλήθην γενέσθαι. — 10. Ὅτ' ἂν εὖ γεγονὼς ᾖ τῇ φύσει πρὸς τἀγαθά, κἂν Αἰθίοψ ᾖ, ἔστιν εὐγενής. — 11. Τῶν ἀδοκήτων πόρον εὗρε θεός. — 12. Ἀριστοτέλης τοὺς Ἀθηναίους ἔφασκεν εὑρηκέναι πυροὺς καὶ νόμους· ἀλλὰ πυροῖς μὲν χρῆσθαι, νόμοις δὲ μή. — 13. Ἐν Ἀθήναις εὑρεθῆναι λέγουσι πρῶτον τὴν ἐλαίαν καὶ τὴν συκῆν. — 14. Βίων πλέων μετὰ πονηρῶν λῃσταῖς περιέπεσε· τῶν δέ, Ἀπολώλαμεν, εἰπόντων, ἐὰν γνωσθῶμεν, Ἐγὼ δέ, φησίν, ἐὰν μὴ γνωσθῶμεν. — 15. Ὁ Πιττακὸς κατέθετο τὴν ἀρχὴν δέκα ἔτη κατασχὼν αὐτὴν καὶ εἰς τάξιν καταγαγὼν τὸ πολίτευμα.

2) 1. Ἀριστοτέλης τὴν ἐλπίδα ἐγρηγορότος εἶπεν ἐνύπνιον. — 2. Τὸν δακόντα δήξομαι κύων

---

4. ἤγαγεν von ἄγω. — 5. κατελθὼν von κατέρχομαι, ἀνῆλθεν von ἀνέρχομαι. — 6. ἕληται von αἱρέω. — 7. αἴσθωνται von αἰσθάνομαι. — 8. ἔβλαστεν von βλαστάνω. — 9. ἀναβὰς von ἀναβαίνω, ἐκάθητο von κάθημαι, προςδραμοῦσα von προςτρέχω, ἀνέλαβεν von ἀναλαμβάνω, πέπονθα von πάσχω, ἠβουλήθην von βούλομαι, γενέσθαι von γίγνομαι. — 10. γεγονὼς von γίγνομαι. — 11. εὗρε von εὑρίσκω. — 12. εὑρηκέναι von εὑρίσκω. — 14. περιέπεσε von περιπίπτω, ἀπολώλαμεν von ἀπόλλυμι, γνωσθῶμεν von γιγνώσκω. — 15. κατασχὼν von κατέχω.

2, 1. ἐγρηγορότος von ἐγείρω. — 2. δακόντα und

ἂν εἶπεν, οὐχ ὁ νοῦν ὀρθὸν τρέφων. — 3. Ὦ πατρίς, ὦ δῶμά τ' ἐμόν, μὴ δῆτ' ἄπολις γενοίμην· θανάτῳ παρὸς δαμείην. — 4. Διὸς βέλει δμηθεὶς Καπανεὺς ἀπώλετο. — 5. Γλυκὺ μὲν καταδαρθεῖν ἄλσεσιν ἐν σκιαροῖς, ἵνα λάβρον ὕδατος μένος διὰ σκοπέλους φέρεται, αἰθυσσομένων τε φύλλων κῶμα καταρρεῖ. — 6. Πάντ' ἐδίδαξε χρόνος. — 7. Βουλευόμενος παραδείγματα ποιοῦ τὰ παρεληλυθότα τῶν μελλόντων. — 8. Ἐπίσχες ὀργιζόμενος. — 9. Πᾶς ἐστι δοῦλος ἱμέρῳ κακῶν σχεθείς. — 10. Εἰ ὁ οἶνος μετρίως ἀφεψηθείη, πινόμενος ἧττον μεθύσκει. — 11. Βίων πρὸς τὸν τὰ χωρία κατεδηδοκότα, τὸν μὲν Ἀμφιάραον, ἔφη, ἡ γῆ κατέπιε, σὺ δὲ τὴν γῆν. — 12. Ἀρετή, κἂν ἀποθάνῃ τις, οὐκ ἀπόλλυται. — 13. Διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων, ὅσῳ οἱ ζῶντες τῶν τεθνηκότων. — 14. Τῶν ἀνθρώπων ἔλεγεν Ἀριστοτέλης τοὺς μὲν οὕτω φείδεσθαι ὡς ἀεὶ ζησομένους, τοὺς δὲ οὕτω ἀναλίσκειν, ὡς αὐτίκα τεθνηξομένους. — 15. Λύκος θεασάμενος αἶγα ἐπί τινος κρημνοῦ νεμομένην, ἐπειδὴ οὐκ ἠδύνατο αὐτῆς ἐφικέσθαι, παρῄνει αὐτῇ κατωτέρω καταβῆναι, μὴ καὶ πέσῃ λαθοῦσα, λέγων, ὡς καὶ λειμῶνες παρ' αὐτῷ καὶ ἡ πόα φαιδροτέρα. Ἡ δὲ πρὸς αὐτὸν ἔφη, Ἀλλ' οὐκ ἐμὲ ἐπὶ νομὴν καλεῖς, αὐτὸς δὲ τροφῆς ἀπορεῖς.

3) 1. Ἀχάριστος ὅστις εὖ παθὼν ἀμνημονεῖ. — 2. Τρεσάντων ἀνδρῶν πᾶς ἀπόλωλ' ἀρετή. —

δήξομαι von δάκνω. — 3. δαμείην von δαμάω. — 4. δμηθεὶς von δαμάω, ἀπώλετο von ἀπόλλυμι. — 5. καταδαρθεῖν von καταδαρθάνω. — 7. παρεληλυθότα von παρέρχομαι. — 8. ἐπίσχες von ἐπέχω. — 9. σχεθεὶς von ἔχω. — 10. ἀφεψηθείη von ἀφέψομαι. — 11. κατεδηδοκότα von κατέδω. — 12. ἀποθάνῃ von ἀποθνήσκω. — 13. τεθνηκότων von θνήσκω. — 15. ἠδύνατο von δύναμαι, ἐφικέσθαι von ἐφικάνω, παρῄνει von παραινέω, καταβῆναι von καταβαίνω, πέσῃ von πίπτω, λαθοῦσα von λανθάνω.

3, 1. παθὼν von πάσχω. — 2. ἀπόλωλ' von ἀπόλλυμι.

3. Ὁ Περσῶν βασιλεὺς πεζὸς οὐδέποτε ἑωράθη ἔξω τῶν βασιλείων. — 4. Ὁ μεθύων δοῦλός ἐστι τοῦ πεπωκέναι. — 5. Λύκος καταπιὼν ὀστοῦν περιῄει ζητῶν τὸν ἰασόμενον. Περιτυχὼν δὲ ἐρωδιῷ τοῦτον παρεκάλει ἐπὶ μισθῷ τὸ ὀστοῦν ἐξελεῖν. Κἀκεῖνος καθεὶς τὴν ἑαυτοῦ κεφαλὴν εἰς τὸν τοῦ λύκου τράχηλον ἐξέσπασε καὶ τὸν ὁμολογηθέντα μισθὸν ἠξίωσε λαβεῖν. Ὁ δὲ λύκος, Ἀρκείτω σοι, ἔφη, σῶαν ἐνθένδε ἐξελεῖν τὴν κεφαλήν. — 6. Ὁ Βίωνος τοῦ φιλοσόφου πατὴρ, παρατελωνησάμενός τι, πανοίκιος ἐπράθη μετὰ τῶν ἑαυτοῦ. — 7. Σωκράτης τῇ προτεραίᾳ νυκτὶ, ᾗ Πλάτων ἔμελλεν ἔσεσθαι μαθητὴς αὐτοῦ, ἐσπτῆναί οἱ κύκνον εἰς τὸν κόλπον εἶδεν ὄνειρον. — 8. Ξενοφάνης ἔλεγε, τὴν γῆν ἐξ ἀέρος καὶ πυρὸς συμπαγῆναι. — 9. Σωκράτης, στρέψαντος Ἀντισθένους τὸ διεῤῥωγὸς τοῦ τρίβωνος εἰς τοὐμφανὲς, Ὁρῶ σου, ἔφη, διὰ τοῦ τρίβωνος τὴν κενοδοξίαν.

4) 1. Ὕδατος ῥοαὶ τὸ πῦρ πότ᾽ ἔσβεσαν, ὀργὴν δ᾽ ἔπος ἁβρόν. — 2. Τὸ φιλόστοργον ἡ φύσις καὶ κηδεμονικὸν ἐνειργάσατο ταῖς τεκούσαις. — 3. Οἱ Πελοποννήσιοι ἐν πέμπτῳ ἔτει τοῦ πολέμου ἐδῄωσαν τῆς Ἀττικῆς τά τε πρότερον τετμημένα καὶ εἴ τι ἐβεβλαστήκει καὶ ὅσα ἐν ταῖς πρὶν ἐσβολαῖς παρελέλειπτο. — 4. Οὓς ἂν ἐράνους εἰσενέγκῃς τοῖς γονεῦσι, τοὺς αὐτοὺς προσδέχου καὶ παρὰ τῶν τέκνων. — 5. Πολέμων, νέος ὢν, ἀκόλαστος καὶ διακεχυμένος ἦν. Καί ποτε συνθέμενος τοῖς νέοις, καὶ ἐστε-

---

— 3. ἑωράθη von ὁράω. — 4. πεπωκέναι von πίνω. — 5. περιῄει von περίειμι, περιτυχὼν von περιτυγχάνω, ἐξελεῖν von ἐξαιρέω, καθεὶς von καθίημι, λαβεῖν von λαμβάνω. — 6. ἐπράθη von πιπράσκω. — 7. ἔσεσθαι von εἰμὶ, ἐσπτῆναι von πέτομαι. — 8. συμπαγῆναι von συμπήγνυμι. — 9. διεῤῥωγὸς von διαῤῥήγνυμι.

4, 1. ἔσβεσαν von σβέννυμι. — 2. τεκούσαις von τίκτω. — 3. τετμημένα von τέμνω, ἐβεβλαστήκει von βλαστάνω. — 4. εἰσενέγκῃς von εἰσφέρω. — 5. διακεχυμένος von χέω,

φανωμένος μεθύων εἰς τὴν Ξενοκράτους ἧξε σχολήν. Ὁ δέ, οὐδὲν διατραπείς, διῄει τὸν λόγον ὁμοίως· ἦν δὲ περὶ σωφροσύνης. Ἀκούων δὲ τὸ μειράκιον, κατ' ὀλίγον ἐθηράθη. Καὶ οὕτως ἐγένετο φιλόπονος, ὡς ὑπερβάλλεσθαι καὶ αὐτὸν διαδέξασθαι τὴν σχολήν. Τοσοῦτον δὲ ἐπέτεινε τὸ ἦθος ἀρξάμενος φιλοσοφεῖν, ὥστ' ἐπὶ ταὐτοῦ σχήματος τῆς μορφῆς πάντοτε μένειν. Ἀλλὰ καὶ τὴν φωνὴν ἀναλλοίωτος ἦν, τά τε ἄλλα ἀστεῖός τις καὶ γενναῖος. Διέτριβε δὲ ἐν τῷ κήπῳ, παρ' ὃν οἱ μαθηταὶ μικρὰ καλύβια ποιησάμενοι, κατῴκουν, πλησίον τοῦ μουσείου καὶ τῆς ἐξέδρας. Ὡς ἐῴκει δή, κατὰ πάντα ἐζηλώκει τὸν Ξενοκράτην. Ἀεὶ γοῦν ἐμέμνητο αὐτοῦ, τήν τε ἀκακίαν καὶ τὸν αὐχμὸν ἐνεδέδυτο τἀνδρὸς καὶ τὸ βάρος, οἱονεὶ Δώριός τις ἁρμονία.

ἦξε von ἀΐσσω, διῄει von δίειμι, ἐῴκει von εἴκω, ἐμέμνητο von μιμνήσκω.

2.

Beyspiele

über

die Syntax der griechischen Sprache

von

Franz Höger.

Nominativ.

(Kl. griech. Gramm. §. 176. 4. Gr. griech. Gramm. §. 276. 2.)

1) Ταῦτα φιλοπολέμου δοκεῖ ἀνδρὸς ἔργα εἶναι, ὅστις, ἐξὸν μὲν εἰρήνην ἄγειν ἄνευ αἰσχύνης καὶ βλάβης, αἱρεῖται πολεμεῖν· ἐξὸν δὲ ῥαθυμεῖν, βούλεται πονεῖν, ὥστε πολεμεῖν· ἐξὸν δὲ χρήματα ἔχειν ἀκινδύνως, αἱρεῖται πολεμῶν μείονα ταῦτα ποιεῖν. — 2) (Ἐννοήσατε, ὦ ἄνδρες δικασταὶ, τὰ ὑπ' ἐμοῦ λεχθέντα καὶ εὑρήσετε τοῦτον τὸν ἄνδρα τοιαῦτα ποιεῖν τετολμηκότα) ὡς οὐκ ἐξεσόμενον τῇ πόλει δίκην παρὰ τῶν ἀδικούντων λαμβάνειν. — 3) Πανταχόθεν καλῶς ὑπάρχον ἡμῖν πολεμεῖν, μὴ μέλλετε (τοῦ τε πολέμου ἄρξασθαι καὶ ἐνθυμεῖσθε, οἵων προγόνων ἔστε). — 4) Οἱ Ἀθηναῖοι μετεμέλοντο, ὅτι μετὰ τὰ ἐν Πύλῳ [1]) καλῶς παρασχὸν οὐ ξυνέβησαν. — 5) Κριτίας ἔλεγεν ἐν τῇ βουλῇ· Ἐγὼ οὖν, ἔφη, Θηραμένην [2]) τουτονὶ ἐξαλείφω ἐκ τοῦ καταλόγου, ξυνδοκοῦν ἅπασιν

---

1) Xen. Anab. II, 6, 6. — 2) Lysias c. Alcib. λειποταξ. p. 277. — 3) Thuc. I, 124. — 4) Id. V, 14. — 5) Xen. Hell. II, 3, 51.

1) Die Besitznahme von Pylus durch Demosthenes und Kleon fällt ins J. 425. v. Chr. Das Weitere hierüber bey Thuc. lib. IV. c. 3—41.

2) Theramenes und Critias 2 aus den 30 Tyrannen. — Weil Theramenes keineswegs dem Morden und der Grausamkeit der Uebrigen, besonders des Critias, beystimmte, ward er ihnen bald verdächtig und verhaßt, und Critias besonders drang auf seinen Tod. — ἐκ τοῦ καταλόγου. Bey dem Antritte ihrer Herrschaft hatten nämlich die 30 Tyrannen 3000 Bürger ausgewählt, die ihnen geneigt waren, gaben diesen allein das Recht die Waffen zu tragen, nachdem sie dieselben den übrigen Bürgern entzogen, und theilten mit ihnen die Staatsgeschäfte, und diese Bürger kommen daher unter dem Namen οἱ τρισχίλιοι oder οἱ ἐν τῷ καταλόγῳ, die übrigen alle zusammen

ἡμῖν. Καὶ τοῦτον, ἔφη, ἡμεῖς θανατοῦμεν. — 6) (Καὶ τοῦτο σημεῖον, ὦ δικασταί, ὅτι χρημάτων οὐκ ἐστι ἐπιθυμητὴς Ἀριστοφάνης) ὅς, παρὸν μετὰ πολλῶν χρημάτων γῆμαι ἄλλην, τὴν ἐμὴν μητέρα ἔλαβεν οὐδὲν ἐπιφερομένην. — 7) Εἰ, πάλαι δέον τιμωρεῖσθαι, ὕστερον τιμωρούμεθα (τούτους τοὺς ἄνδρας, οἱ πολλοὶ νομιοῦσι, οὐκ ἀξίους εἶναι αὐτοὺς τῆς ζημίας, ἢ κολασθήσονται· οὐ γὰρ ἂν τοσοῦτον χρόνον ζῆν αὐτοῖς ἐδώκαμεν). — 8) Προςῆκον ἡμᾶς ἅπασιν εἶναι παράδειγμα τοῦ καλῶς καὶ τεταγμένως πολιτεύεσθαι, χεῖρον καὶ ταραχωδέστερον τὴν ἡμετέραν αὐτῶν διοικοῦμεν τῶν ἄρτι τὰς πόλεις οἰκιζόντων.

Genitiv.

(Kl. griech. Gramm. §. 178. Gr. griech. Gramm. §. 251.)

9) Σοφοκλῆς ὁ τραγῳδοποιὸς ὑπὸ Ἰοφῶντος τοῦ υἱέος ἐπὶ τέλει τοῦ βίου παρανοίας κρινόμενος, ἀνέγνω τοῖς δικασταῖς Οἰδίπουν τὸν ἐπὶ Κολωνῷ [1]), ἐπιδεικνύμενος διὰ τοῦ δράματος, ὅπως τὸν νοῦν ὑγιαίνει· ὡς τοὺς δικαστὰς τὸν μὲν ὑπερθαυμάσαι, καταψηφίσασθαι δὲ τοῦ υἱοῦ αὐτοῦ μανίαν. — 10) Τῶν καταιτιαθέντων (μετεσχηκέναι τῆς τῶν Ἑρ-

---

6) Lysias de Aristoph. Pecun. p. 335. — 7) Id. c. Agorat. p. 264. — 8) Isocrat. de pace c. 17. p. 268.

9) Lucian. Macrob. 24. T. VIII. p. 129. — 10) Thuc. VI, 60.

unter der Bezeichnung οἱ ἔξω τοῦ καταλόγου vor. Da die Handschriften ἡμῖν und ὑμῖν bieten, scheint das letztere gewissermaßen vorzuziehen zu seyn; zufolge der Anmaßung der 30 wäre dann ξυνδοκοῦν ἅπασιν ὑμῖν, mit der Beystimmung, dem Gutachten von euch allen, gleichsam ironisch, und ihr werdet euch wohl dieses gern müssen gefallen lassen und es bewilligen; besonders wenn man Rücksicht nimmt auf die Zubereitung, die Critias in der Versammlung getroffen hatte, und die Xen. l. l. §. 23. und §. 50. erwähnt; wo der Senat durch die Bewaffneten allerdings in Schrecken gesetzt wurde. M. vergl. §. 55.

1) Dieses Stück gehört zu den 7 Tragödien des Sophocles, die sich bis auf unsre Zeiten erhalten haben.

μῶν [2]) περικοπῆς καὶ τῆς εἰς τὰ μυστήρια γεγενημένης ὕβρεως) κρίσεις ποιήσαντες οἱ Ἀθηναῖοι, τοὺς μὲν ἀπέκτειναν, ὅσοι ξυνελήφθησαν, τῶν δὲ διαφυγόντων θάνατον καταγνόντες ἐπανεῖπον ἀργύριον τῷ κτείνακτι. — 11) Παυσανίου κατηγορεῖτο ἀδικία πολλὴ ὑπὸ τῶν Ἑλλήνων [3]), καὶ οὐχ ἥκιστα Μηδισμός. — 12) Τοῦ Μηδισμοῦ τοῦ Παυσανίου Λακεδαιμόνιοι ξυνεπῃτιῶντο καὶ τὸν Θεμιστοκλέα, ἠξίουν τε τοῖς αὐτοῖς κολάζεσθαι αὐτόν. — 13) Μιλτιάδεα οἱ ἐχθροὶ ὑπὸ δικαστήριον ἀγαγόντες ἐδίωξαν τυραννίδος τῆς ἐν Χερσονήσῳ. — 14) Τῶν Λουκούλλου γονέων ὁ μὲν πατὴρ ἑάλω κλοπῆς, Καικιλία δὲ ἡ μήτηρ ἠδόξησεν, ὡς οὐ βεβιωκυῖα σωφρόνως. — 15) (Ἴσμεν τὸν Σωκράτη) ἀσεβείας φεύγοντα ὑπὸ Μελίτου. — 16) Αἰσχύλος ὁ τραγῳδὸς ἐκρίνετο ἀσεβείας [4]) ἐπί τινι δράματι. — 17) Αἰγινῆται ἐν τοῖς Περσικοῖς [5]) ἀγαθοὶ ἐγένοντο, καὶ διὰ ταῦτα καὶ τῶν ἀριστείων ἠξιώθησαν. — 18) Ἔγωγε οὐδὲν ἀνισώτερον νομίζω τῶν ἐν ἀνθρώποις εἶναι, τοῦ τῶν ἴσων τόν τε κακὸν καὶ τὸν ἀγαθὸν ἀξιοῦσθαι. — 19) Οἱ Ἀθηναῖοι Ἀπολλόδωρον τὸν Κυζικηνὸν πολλάκις στρατηγὸν εἵλοντο, ξένον ὄντα, καὶ Ἡρακλείδην

---

11) Thuc. I, 95. — 12) Id. I, 135. — 13) Herodot. VI, 104. — 14) Plut. V. Lucull. c. 1. — 15) Plato Apol. Socr. p. 35. d. — 16) Aelian. V. H. V, 19. — 17) Id. ib. XII, 10. — 18) Xen. Cyr. II, 2, 17. — 19) Aelian. Var. Hist. XIV, 5.

2) Diese frevelhafte Verstümmlung der Hermesfäulen geschah vor der Abfahrt der äthenäischen Flotte nach Sizilien 415. v. Chr. — Unter den Entflohenen war auch Alcibiades, der, von den Athenäern aus Sizilien zurückgerufen, anstatt einer Untersuchung sich zu unterziehen, nach Sparta entwich; m. s. h. Corn. Nep. V. Alcib.

3) Auch war Pausanias den verbündeten Hellenen durch seinen Uebermuth drückend. Hauptsächlich durch seine Schuld ging die Hegemonie von den Spartanern auf die Athenäer über. 470. v. Chr.

4) Seine ἀσέβεια bestand darin, daß er in einem seiner Stücke die Eleusinischen Mysterien verrathen haben soll.

5) Aegina blühte ganz vorzüglich durch seine Seemacht schon vor den persischen Kriegen, und zeichnete sich in denselben insbesondere durch seine Tapferkeit aus.

τὸν Κλαζομένιον. Ἐνδειξάμενοι γὰρ, ὅτι ἄξιοι λόγου εἰσὶν, εἶτα οὐκ ἔδοξαν ἀνάξιοι τοῦ Ἀθηναίων ἄρχειν εἶναι. — 20) Τοὺς ἀπαιδεύτους παντάπασιν ἀρετῆς θαυμάζοιμ' ἂν, εἴ τι πλέον ἂν ὠφελήσειε λόγος καλῶς ῥηθεὶς εἰς ἀνδραγαθίαν ἢ τοὺς ἀπαιδεύτους μουσικῆς ᾆσμα καλῶς ᾀσθὲν εἰς μουσικήν.

Angabe der Theile durch den Genitiv.

(Kl. griech. Gramm. §. 179. Gr. griech. Gramm. §. 252.)

21) Τῆς μὲν ἀνδρίας καὶ τῆς δεινότητος [1]) καὶ τῶν ἄλλων τῶν εὐδοκιμούντων ὁρῶμεν καὶ τῶν κακῶν ἀνδρῶν πολλοὺς μετέχοντας, τὴν δὲ σωφροσύνην καὶ τὴν δικαιοσύνην ἴδια κτήματα τῶν καλῶν κἀγαθῶν ὄντα. — 22) Πολλὰ μηχανώμεθα, δι' ὧν τῶν τε ἀγαθῶν ἀπολαύομεν, καὶ τὰ κακὰ ἀλεξόμεθα. — 23) Οἱ ἀεὶ κτώμενοι ἀπολαύουσιν ἐλάχιστα τῶν ὑπαρχόντων. — 24) Ἐπαινοῦμεν τοὺς θεοὺς, ἐπεὶ νίκης τετυχήκαμεν καὶ σωτηρίας. — 25) Ἕκαστος τῶν γεγηρακότων καὶ σπεύδει, καὶ εὔχεται, καταλῦσαι τὸν βίον ἐπὶ τῆς πατρίδος, ἵν', ὅθεν ἤρξατο βιοῦν, ἐνταῦθα πάλιν καὶ τὸ σῶμα παρακατάθηται τῇ θρεψαμένῃ γῇ, καὶ τῶν πατρῴων κοινωνήσῃ τάφων. — 26) Οἱ τῆς τελετῆς μετέχοντες περί τε τῆς τοῦ βίου τελευτῆς καὶ τοῦ σύμπαντος αἰῶνος ἡδίους τὰς ἐλπίδας ἔχουσιν. — 27) (Ἐπειδὴ Μῆδοι ἀνεχώρησαν ἐκ τῆς Εὐρώπης,) οἱ Ἀθηναῖοι μετὰ μεγάλης σπουδῆς ᾠκοδόμουν τὰ τείχη [2]), οὔτ' οἰκίας, οὔτε τάφου φειδόμενοι·

---

20) Xen. Cyr. III, 2, 55.
21) Isocrat. Nicocl. p. 45. — 22) Xen. Mem. IV, 3, 11. — 23) Thuc. I. 70. — 24) Xen. Cyr. IV, 1, 2. — 25) Lucian. Patriae Encom. 9. T. VIII. p. 136. — 26) Isocrat. Panegyr. p. 59. — 27) Diodor. Sic. XI, 40.

1) *Δεινότης* bezieht sich vorzüglich auf die Macht der Rede und die Kunst das Volk (*τὸν δῆμον*) nach Willkühr zu leiten.

2) Die Aufbauung der Mauern geschah besonders auf Betrieb des Themistocles, und dieser mußte seine ganze Gewandtheit aufbieten, um

συνελαμβάνοντο δὲ τῶν ἔργων οἵ τε παῖδες, καὶ γυναῖκες, καὶ καθόλου πᾶς ξένος καὶ δοῦλος, οὐδενὸς ἀπολειπομένου τῆς προθυμίας. — 28) (Πολλοὶ περὶ πλείστου ποιοῦνται) μεθύσκεσθαι οἴνου ἡδέος. — 29) Ἡνίκα Ἀλέξανδρος ὁ Φιλίππου ἐπὶ τὰς Θήβας ἦγε τὴν δύναμιν, πολλὰ τέρατα ἐγένετο σημαίνοντα τὴν ἐσομένην συμφορὰν, καὶ δὴ καὶ ἡ Δίρκη καλουμένη κρήνη ἄφνω καὶ παρ' ἐλπίδα αἵματος ἐνεπλήσθη.

Angabe des Stoffes oder Werkzeuges durch den Genitiv.

(Kl. griech. Gramm. §. 180. Gr. griech. Gramm. §. 253.)

30) Ἦσαν ἐν ταῖς Σάρδεσι οἰκίαι, αἱ μὲν πλείους καλάμιναι [1]), ὅσαι δ' αὐτῶν καὶ πλίνθιναι ἦσαν, καλάμου εἶχον τὰς ὀροφάς. — 31) Ἀκραγαντῖνοι τὸν ἐπώνυμον τῆς πόλεως ποταμὸν [2]) παιδὶ ὡραίῳ εἰκάσαντες, ἔθυον· οἱ αὐτοὶ καὶ ἐν Δελφοῖς ἀνέθεσαν, ἐλέφαντος διαγλύψαντες ἄγαλμα, καὶ ἐπέγραψαν τὸ τοῦ ποταμοῦ ὄνομα· καὶ παιδὸς ἦν τὸ ἄγαλμα. — 32) Τὸ Κύρου στράτευμα μεστὸν ἦν ἀεὶ προθυμίας, φιλοτιμίας, ῥώμης, θάρσους, παρακελευσμοῦ, σωφροσύνης, πειθοῦς. — 33) Πυθέας ἐπέσκωπτεν εἰς Δημοσθένη τὸν Δημοσθένους, ἐπιλέγων, αὐτῷ τὰ ἐνθυμήματα ἐλλυχνίων ὄζειν· ὅτι ἐκεῖνος διὰ τῆς νυκτὸς πάσης ἠγρύπνει φροντίζων καὶ ἐκμανθάνων, ἃ ἔμελλεν ἐρεῖν ἐλθὼν εἰς τοὺς Ἀθηναίους.

---

28) Lucian. Epistol. Saturn. 26. T. IX. p. 31. — 29) Aelian. V. H. XII. 57.

30) Herod. V. 101. — 31) Aelian. V. H. II. 33. — 32) Xen. Cyr. III, 3, 59. — 33) Aelian. V. H. VII. 7.

die Spartaner, welche bereits die wachsende Macht Athens zu fürchten anfingen und den Bau der Mauer nicht gestatten wollten, zu hintergehen.

1) Daher auch diese Stadt bey dem Aufstande der Jonier gegen Darius (500 v. Chr.) so schnell vom Feuer ergriffen und verzehrt ward.

2) Die Flüsse wurden als Gottheiten betrachtet; daher man ihnen auch Altäre errichtete; eben so auch den Winden.

Angabe des Orts durch den Genitiv.

(Kl. griech. Gramm. §. 181. Gr. griech. Gramm. §. 254.)

34) Χαρίδημος Ἀθηναῖος, ἀνὴρ θαυμαζόμενος ἐπ᾽ ἀνδρείᾳ καὶ δεινότητι στρατηγίας, (προσέκρουσε Δαρείῳ καίπερ ἀγαθὰ συμβουλεύσας περὶ τοῦ πολέμου·) διότι Δαρεῖος [1]) ἐπιλαβόμενος τῆς τοῦ Χαριδήμου ζώνης [2]), κατὰ τὸν τῶν Περσῶν νόμον, παρέδωκε τοῖς ὑπηρέταις, καὶ προςέταξεν ἀποκτεῖναι. — 35) Τοὺς καταφρονεῖν παραινοῦντας χρημάτων ἑώρων ἀπρὶξ ἐχομένους αὐτῶν. — 36) (Τοσούτων ἡμῖν ὑπαρχουσῶν δυνάμεων) εὐέλπιδες ἅπτεσθαι διανοούμεθα τοῦ πολέμου. — 37) Ἄνευ εὐψυχίας οὐδεμία τέχνη πρὸς τοὺς κινδύνους ἰσχύει. — 38) Νεότης καὶ γῆρας ἄνευ ἀλλήλων οὐδὲν δύνανται. — 39) Οἱ Αἰγὸς Ποταμοὶ ἀντίον εἰσὶ τῆς Λαμψάκου. — 40) Οὐδὲν ἄλλο ἔχουσα εἰς ᾅδου ἡ ψυχὴ ἔρχεται, πλὴν τῆς παιδείας τε καὶ τροφῆς. — 41) Ἡ Ζάκυνθος νῆσος κεῖται ἀντιπέρας Ἤλιδος.

Umfang des örtlichen Genitivs.

(Kl. griech. Gramm. §. 182. Gr. griech. Gramm. §. 255.)

42) (Μετὰ τὴν περὶ τοὺς Αἰγὸς Ποταμοὺς γενομένην ναυμαχίαν) ὡρμίσατο ὁ Λύσανδρος πρὸς τὸν Πειραιᾶ ναυσὶ πεντήκοντα καὶ ἑκατὸν, καὶ τὰ πλοῖα εἶργε τοῦ εἴςπλου. — 43) Θεμιστοκλῆς Ἱέρωνα ἥκοντα εἰς Ὀλυμπίαν Ὀλυμπίων ἀγομένων, ἵππους ἄγοντα, εἶρξε τῆς ἀγωνίας εἰπὼν, τὸν μὴ μεταλαβόντα τοῦ μεγίστου τῶν κινδύνων [1]), τῶν πανηγύ-

---

34) Diodor. Sic. XVII, 30. — 35) Lucian. Necyomant. 5. T. III. p. 8. — 36) Thuc. VIII, 2. — 37) Thuc. II, 87. — 38) Id. VI, 18. — 39) Xen. Hell. II, 1, 21. — 40) Plat. Phaed. c. 57. — 41) Thuc. II, 66.

42) Xen. Hell. II, 2, 9. — 43) Aelian. V. H. IX, 5.

1) Es ist dieß Darius III. Codomannus, unter welchem das persische Reich von Alexander dem Großen gestürzt wurde.

2) Ein ähnliches Beyspiel dieser Sitte findet sich bey Xen. Anab. I, 6, 10.

1) Gelo, des Hiero Bruder, hatte den verbündeten Griechen Beystand

ρεων μεταλαμβάνειν μὴ δεῖν· καὶ ἐπῃνέθη Θεμιστοκλῆς. — 44) Μείζω ζημίαν ἡγοῦ, φίλων ἢ χρημάτων στερίσκεσθαι. — 45) Ἄρχων ἀγαθὸς οὐδὲν διαφέρει πατρὸς ἀγαθοῦ· οἵ τε γὰρ πατέρες προνοοῦσι τῶν παίδων, ὅπως μήποτε αὐτοὺς τἀγαθὰ ἐπιλείψει, ἄρχων τε ἀγαθὸς ἀεὶ συμβουλεύει τοῖς περὶ αὐτὸν, ἀφ' ὧν μάλιστ' ἂν εὐδαιμονοῦντες διατελοῖεν. — 46) Τῶν ἡμαρτημένων ἄνθρωποι μέμνηνται μᾶλλον ἢ τῶν εὖ πεποιημένων. — 47) Κατὰ τὰς ἀτυχίας πάντες ἄνθρωποι μᾶλλον εἰώθασι τοῦ θεοῦ μνημονεύειν καὶ πολλάκις· ἐν δὲ ταῖς εὐημερίαις καὶ εὐπραξίαις ὡς μύθων πεπλασμένων τοῦ θεοῦ καταφρονοῦσιν. — 48) Πολλοὶ ἐπιθυμήσαντες πάντων κύριοι εἶναι διὰ ταῦτα καὶ ὧν εἶχον, ἀπέτυχον. — 49) Ἄρχοντος ἐστιν οὐκ αὐτὸν μόνον ἀγαθὸν εἶναι, ἀλλὰ καὶ τῶν ἀρχομένων ἐπιμελεῖσθαι, ὅπως ὡς βέλτιστοι ἔσονται. — 50) Πολλοὶ ἄνθρωποι χρημάτων μὲν κτήσεως πέρι πᾶσαν ποιοῦνται σπουδὴν, τῶν δὲ υἱέων, οἷς ταῦτα καταλείψουσι, μικρὰ φροντίζουσι. — 51) Πάντῃ πάντα τοῖς θεοῖς ὕποχα, καὶ πανταχῇ πάντων ἴσον οἱ θεοὶ κρατοῦσι. — 52) Ἐπαμινώνδας οὐ μόνον τῶν ὁμοεθνούντων, ἀλλὰ καὶ πάντων Ἑλλήνων πολὺ προέσχεν ἀνδρείᾳ τε καὶ στρατηγικῇ συνέσει. — 53) Ἰάσων ὁ Φερῶν τύραννος ἔπεισε τοὺς Θετταλοὺς ἀντιποιεῖσθαι τῆς τῶν Ἑλλήνων ἡγεμονίας. — 54) Δαρεῖος Μαρδόνιον φλαύρως πράξαντα τῷ στόλῳ παρέλυσε τῆς στρατηγίας. — 55) Οἱ Ἀθηναῖοι χαλεπῶς ἔφερον τῆς ἡγεμονίας ἀποστερηθέντες.

---

44) Xen. Ages. XI, 5. — 45) Id. Cyr. VIII, 1, 1. — 46) Stob. Serm. CLII. p. 530. — 47) Diodor. Sic. fragm. l. XXIII, T. IX. p. 322. — 48) Xen. Cyr. I, 6, 45. — 49) Id. ib. II, 1, 11. — 50) Plut. Educat. Lib. c. 7. T. VII. p. 16. — 51) Xen. Anab. II, 5, 7. — 52) Diodor. Sic. XV, 39. — 53) Id. XV, 60. — 54) Herodot. VI, 94. — 55) Plut. V. Alcib. c. 38.

gegen den Xerxes verweigert. Deshalb hatte auch Hiero an jenem Kriege keinen Theil nehmen können.

— 56) Ἔστιν οὐχ οἷόν τε ἀποτρέπειν τῶν ἁμαρτημάτων, οὐδ' ἑτέρων πράξεων πείθειν ἐπιθυμεῖν, ἢν μή τις ἐῤῥωμένως ἐπιτιμήσῃ τοῖς ἁμαρτάνουσιν. — 57) Πρέπει τοὺς δόξης ὀρεγομένους καὶ παιδείας ἀντιποιουμένους τῶν σπουδαίων, ἀλλὰ μὴ τῶν φαύλων εἶναι μιμητάς. — 58) Δέδοικα, μὴ, ἂν ἅπαξ μάθωμεν ἀργοὶ ζῆν, καὶ ἐν ἀφθόνοις βιοτεύειν, ὥσπερ οἱ Λωτοφάγοι, ἐπιλαθώμεθα τῆς οἴκαδε ὁδοῦ. — 59) (Τοῦ Πελοποννησιακοῦ πολέμου) ἤρξαντο Ἀθηναῖοι καὶ Πελοποννήσιοι λύσαντες τὰς τριακοντούτεις σπονδὰς, αἳ αὐτοῖς ἐγένοντο μετὰ Εὐβοίας ἅλωσιν. — 60) Εἰπόντος τινὸς πρὸς Ἀναξαγόραν οὐ φροντίζοντα τῶν πολιτικῶν, Οὐδέν σοι μέλει τῆς πατρίδος; Εὐφήμει, ἔφη, ἐμοὶ γὰρ καὶ σφόδρα μέλει πατρίδος, δείξας τὸν οὐρανόν. — 61) Οἱ πάλαι Ἀθηναῖοι ἦσαν οἱ προασκήσαντες τοὺς ἐπιγιγνομένους καὶ τὰ πλήθη προτρέψαντες ἐπ' ἀρετῇ καὶ χαλεποὺς ἀνταγωνιστὰς τοῖς βαρβάροις ποιήσαντες. Οὐ γὰρ ὠλιγώρουν τῶν κοινῶν, οὐδ' ἀπέλαυον μὲν ὡς ἰδίων, ἠμέλουν δὲ ὡς ἀλλοτρίων, ἀλλ' ἐκήδοντο μὲν ὡς οἰκείων, ἀπείχοντο δὲ ὥσπερ χρὴ τῶν μηδὲν προσηκόντων. — 62) Οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι κατέπαυσαν τῶν Ἀθηναίων τὴν ἡγεμονίαν. — 63) Λέγεται τοὺς Πελοποννησίους, ὡς ἐπυνθάνοντο τῶν αὐτομόλων, ὅτι ἡ νόσος ἐν τῇ πόλει εἴη, ταύτην δείσαντας, ἐκ τῆς γῆς ἐξελθεῖν. — 64) (Πῶς οὐκ αἰσχρὸν) ὑπ' ὀλίγων νεῶν εἴργεσθαι τῆς θαλάσσης. — 65) Χαλεπὸν ἦν τὸν Ἀθηναίων δῆμον ἐλευθερίας παῦσαι, οὐ μόνον μὴ ὑπήκοον ὄντα, ἀλλὰ ἄλλων ἄρχειν εἰωθότα. — 66) Εἴπερ ἡ ψυχὴ ἀθάνατός ἐστι, ἐπιμελείας δὴ δεῖται παρὰ πάντα τὸν

---

56) Isocrat. Panegyr. p. 92. — 57) Id. ad Demon. p. 1. — 58) Xen. Anab. III, 2, 25. — 59) Thuc. I, 23. — 60) Diog. Laërt. II, 7. — 61) Isocrat. Panegyr. p. 74. — 62) Thuc. V, 26. — 63) Thuc. II, 57. — 64) Id. II, 85. — 65) Id. VIII, 68. — 66) Plat. Phaed. c. 57.

βίον. — 67) Θησεὺς χειρωσάμενος τὸν ἐν Μαραθῶνι ταῦρον τὸν τὴν χώραν λυμαινόμενον, μεγάλου φόβου καὶ μεγάλης ἀπορίας πάντας τοὺς οἰκοῦντας τὴν πόλιν ἀπήλλαξεν. — 68) Πᾶσα ἐπιστήμη χωριζομένη δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς, πανουργία, ἀλλ' οὐ σοφία φαίνεται. — 69) Οἱ Λακεδαιμόνιοι ἐζημίωσαν μειράκιον, ἐπεὶ νέος ὢν τοῦ κερδαίνειν ὀξύτατα ἤρα. — 70) (Οἱ Πεισιστρατίδαι αὐτοὶ αἴτιοι ἐγένοντο τοῖς Ἀθηναίοις) τοῦ ἐλευθερωθῆναι τυράννων. — 71) Οἱ Θρᾷκες ὠνοῦντο τὰς γυναῖκας παρὰ τῶν γονέων [2]) χρημάτων μεγάλων. — 72) Τῶν πόνων πωλοῦσιν οἱ θεοὶ τοῖς ἀνθρώποις πάντα τἀγαθά. — 73) Οἱ Χαλδαῖοι μισθοῦ ἐστρατεύοντο, διὰ τὸ πολεμικώτατοι καὶ πένητες εἶναι.

Angabe der Ursache durch den Genitiv.

(Kl. griech. Gramm. §. 183. Gr. griech. Gramm. §. 256.)

74) Κίμων οὔτε τόλμῃ Μιλτιάδου λειπόμενος, οὔτε συνέσει Θεμιστοκλέους, δικαιότερος ἀμφοῖν ὁμολογεῖται γενέσθαι. — 75) Καλόν ἐστι μετὰ πολλῶν καὶ ἀγαθῶν ξυμμάχων ἀγωνιζομένους μηδενὸς λείπεσθαι. — 76) Οὐδείς ἐλεύθερός ἐστι, ὅστις μὴ ἑαυτοῦ κρατεῖ. — 77) Δεινὸν καὶ χαλεπώτατον τοὺς χείρους τῶν βελτιόνων ἄρχειν. — 78) Οὐδεὶς πώποτε πλοῦτος τρόπου πονηροῦ περιεγένετο. — 79) Καὶ θεούς τε ἀκούομεν ἔρωτος ἡσσῆσθαι, ἀνθρώπους τε ἴσμεν, καὶ μάλα φρονί-

---

67) Isocrat. Helen. Encom. c. 13. p. 345. — 68) Stob. Serm. LI. p. 187. — 69) Aelian. V. H. XIV, 44. — 70) Herodot. V, 62. — 71) Herodot. V, 6. — 72) Xen. Mem. II, 1, 20. — 73) Id. Cyr. III, 2, 7.

74) Plut. V. Cimon. c. 5. — 75) Thuc. V, 69. — 76) Stob. Serm. XXXVIII. p. 131. — 77) Id. Serm. CXLIX. p. 519. — 78) Diodor. Sic. XVII, 4. — 79) Xen. Cyr. VI, 1, 36.

2) Es war dieß eine allgemeine Sitte in früherer Zeit sowohl im Morgen= als Abendlande. — M. s. h. Aelian. Var. Hist. IV, 1. u. d. Perizon.

μους δοκοῦντας εἶναι, οἷα πεπόνθασιν ὑπ᾽ ἔρωτος. — 80) Ἀνδρειότερος εἶναί μοι δοκεῖ ὁ τῶν ἐπιθυμιῶν ἢ τῶν πολεμίων κρατῶν· καὶ γὰρ χαλεπώτατόν ἐστιν ἑαυτὸν νικῆσαι.

Angabe der Zeit durch den Genitiv.

(Kl. griech. Gramm. §. 184. Gr. griech. Gramm. §. 257.)

81) Πολύβιος [1]) ὁ Λυκόρτα, Μεγαλοπολίτης, ἀγρόθεν ἀνελθὼν ἀφ᾽ ἵππου κατέπεσε, καὶ ἐκ τούτου νοσήσας ἀπέθανεν ἐτῶν δύο καὶ ὀγδοήκοντα. — 82) Δημόκριτος ὁ Ἀβδηρίτης, ἐτῶν γεγονὼς τεσσάρων καὶ ἑκατὸν, ἀποσχόμενος τροφῆς ἐτελεύτα. — 83) Λέγεται ὁ Φίλιππος προςτάξαι τῶν παίδων τινὶ αὐτῷ ἑκάστης ἡμέρας ἐκβοῆσαι τρίς· Φίλιππε, ἄνθρωπος εἶ.

Genitivi Consequentiae.

(Kl. griech. Gramm. §. 185. Gr. griech. Gramm. §. 258.)

84) Πεισιστράτου γηραιοῦ τελευτήσαντος ἐν τῇ τυραννίδι, οὐχ Ἵππαρχος, (ὥσπερ οἱ πολλοὶ οἴονται,) ἀλλ᾽ Ἱππίας πρεςβύτατος ὢν ἔσχε τὴν ἀρχήν. — 85) Δηϊόκης [1]), ὁ Μήδων βασιλεὺς, πολλῶν ἀνομημάτων γενομένων, ἤσκει δικαιοσύνην καὶ ἄλλας ἀρετάς. — 86) Τῷ βασιλεῖ [2]) οὐ πάτριον ἦν ἀνδρὸς ἀκροᾶσθαι, μὴ προςκυνήσαντος. — 87) Σόλων ἐκέλευε μὴ ἐπιτροπεύειν, εἰς ὃν ἡ οὐσία

---

80) Stob. Serm. XLIX. p. 179.

81) Lucian. Macrob. 18. T. VIII. p. 124. — 82) Id. ib. 22. p. 127. — 83) Aelian. V. H. VIII, 15.

84) Thuc. VI, 54. — 85) Diodor. Sic. fragm. l. VIII. p. 33. — 86) Plut. V. Themist. c. 27. — 87) Diog. Laert. I, 56.

1) Um 150. v. Chr. — An seinem Vater Lycortas hatte der achäische Bund eine treffliche Stütze.

1) M. s. h. Herodot. I. c. 96 seqq.

2) Dem Perser-König, von den Griechen μέγας βασιλεὺς, ὁ β. und β. schlechthin genannt.

ἔρχεται [3]), τῶν ὀρφανῶν τελευτησάντων. — 88) Καλούσης τῆς πατρίδος πρὸς τὰ κοινὰ ἄτοπον ἴσως τὸ μὴ ὑπακούειν.

Genitiv mit εἶναι und γίγνεσθαι.

(Kl. griech. Gramm. §. 186. Gr. griech. Gramm. §. 259.)

89) Ἀνδρῶν σωφρόνων μέν ἐστιν, εἰ μὴ ἀδικοῖντο, ἡσυχάζειν· ἀγαθῶν δέ, ἀδικουμένους, ἐκ μὲν εἰρήνης πολεμεῖν, εὖ δὲ παρασχὸν ἐκ πολέμου πάλιν ξυμβῆναι. — 90) Πολλοὶ νομίζουσι τὴν βασιλείαν, ὥσπερ ἱερωσύνην, παντὸς ἀνδρὸς εἶναι, ὃ τῶν ἀνθρωπίνων πραγμάτων μέγιστόν ἐστι καὶ πλείστης προνοίας δεόμενον. — 91) Τῶν μὲν νικώντων τὸ κατακαίνειν, τῶν δὲ ἡττωμένων τὸ ἀποθνήσκειν ἐστί. — 92) Σόλων καὶ Θαλῆς καὶ Πιττακὸς, οἵτινες τῶν κληθέντων ἑπτὰ σοφῶν ἐγένοντο, ἑκατὸν ἕκαστος ἔζησεν ἔτη. — 93) Θαλῆς [1]) μετὰ τὰ πολιτικὰ τῆς φυσικῆς ἐγένετο θεωρίας.

Präpositionen, die den Genitiv regieren.

(Kl. griech. Gramm. §. 188. Gr. griech. Gramm. §. 261.)

94) Ἀντίγονος Διόνυσον πάντα μιμούμενος κισσὸν μὲν περιετίθει τῇ κεφαλῇ ἀντὶ καυσίας καὶ διαδήματος Μακεδονικοῦ, θύρσον δὲ ἔφερε ἀντὶ σκήπτρου. — 95) Ἀπὸ τῶν Λαυριωτικῶν προσόδων [1]) ἑκατὸν ἐποιήθησαν τριήρεις (Θεμιστο-

---

88) Stob. Serm. CLI. p. 523.

89) Thuc. I, 120. — 90) Isocrat. ad Nicocl. p. 19. — 91) Xen. Anab. III, 2, 39. — 92) Lucian. Macrob. 18. T. VIII. p. 125. — 93) Diog. Laert. I, 23.

94) Herodian. I, 3. — 95) Plut. V. Them. c. 4.

3) Ein ähnliches Gesetz über die Vormundschaft der Waisen ist von Charondas bekannt, worüber m. d. w. b. Diodor. Sic. XII, 15. nachsehen kann.

1) Der Stifter der ionischen Philosophie, so wie Pythagoras der Gründer der italischen. Jener aus Miletos um 600, dieser aus Samos um 540 vor Chr. m. s. h. Diog. Laërt. §. 13.

1) Laurion, ein Gebirge in Attica, mit reichen Silberminen. —

κλέους παρορμῶντος, δι' ὧν αἱ Ἀθῆναι μεγάλαι ἐγένοντο). — 96) Τῶν φιλοσόφων οἱ μὲν ἀπὸ πόλεων [2]) προσηγορεύθησαν, οἱ δὲ ἀπὸ τόπων, ἔνιοι ἀπὸ τῶν διδασκάλων (καὶ ἄλλοι ἀπ' ἄλλων τινῶν αἰτιῶν). — 97) Οὐ χρὴ ἐκ τῶν ἀποτελεσμάτων κρίνειν τοὺς ἀγαθοὺς ἄνδρας, ἀλλ' ἐκ τῆς προαιρέσεως. — 98) Πρὸ τῶν Τρωϊκῶν οὐδὲν φαίνεται πρότερον κοινῇ ἐργασαμένη ἡ Ἑλλάς. — 99) Ὁ Ἀχέρων ποταμὸς διὰ τῆς Θεσπρωτίδος ῥέων ἐσβάλλει ἐς τὴν Ἀχερουσίαν λίμνην. — 100) Οἱ Ἀθηναῖοι τὸν Περικλέα δι' ὀργῆς εἶχον καὶ αἰτίας, ὡς πείσαντα σφᾶς πολεμεῖν [3]) καὶ δι' ἐκεῖνον ταῖς ξυμφοραῖς περιπεπτωκότες. — 101) Τὸν Κῦρον ἔτι νέον ὄντα πάντες ἤδη διὰ στόματος εἶχον, καὶ ἐν λόγῳ καὶ ἐν ᾠδαῖς. — 102) Οἱ εἰθισμένοι μετὰ παῤῥησίας ἀεὶ ποιεῖσθαι τοὺς λόγους (πολλάκις ἤδη μεγίσταις περιέπεσον συμφοραῖς). — 103) Τῶν Φωκέων στρατευσάντων ἐς Δωριέας, τὴν Λακεδαιμονίων μητρόπολιν, ἐβοήθησαν οἱ Λακεδαιμόνιοι τοῖς Δωριεῦσι ἡγουμένου Νικομήδους τοῦ Κλεομβρότου ὑπὲρ Πλειστοάνακτος τοῦ Πανσανίου βασιλέως, νέου ἔτι ὄντος. — 104) Πάντων ἐπὶ γῆς καλῶν ὁ ἥλιος τοῖς ἀνθρώποις αἴτιός ἐστι, καὶ οὐδὲν ἂν εἴη τῶν ἐπ' αὐτῆς, μὴ τοῦ ἡλίου ἐπιλάμποντος. — 105) Τοῖς Περσῶν βασιλεῦσι σημεῖον ἦν ἀετὸς χρυσοῦς ἐπὶ δόρατος μακροῦ ἀνατεταμένος. — 106) Ἐπὶ Κέκρο-

---

96) Diog. Laërt. §. 17. — 97) Diodor. Sic. XI, 11. — 98) Thuc. I, 3. — 99) Thuc. I, 46. — 100) Id. II, 59. — 101) Xen. Cyr. I, 4, 25. — 102) Isocrat. IX. Epist. ad Archidam. p. 763. — 103) Thuc. I, 107. — 104) Stob. Serm. CXLVI. p. 483. — 105) Xen. Cyr. VII, 1, 4. — 106) Thuc. II, 15.

Durch die Gründung einer Seemacht gelangte Athen zu seiner Größe und der Hegemonie über die Hellenen.

2) Von Städten, wie die elische, megarische Schule; — von Orten, wie die Stoiker, Akademiker; — von Lehrern, wie die Epicureer, Socratiker, u. dergl. m. s. h. a. a. O.

3) Pericles nämlich hatte die Athenäer zum Kriege gegen Sparta überredet, und die Unfälle sind die bald einreißende Pest und die Einfälle und Verwüstungen des Landes durch die Lacedämonier.

πος καὶ τῶν πρώτων βασιλέων ἡ Ἀττικὴ ἐς Θησέα ἀεὶ κατὰ πόλεις ᾠκεῖτο. — 107) *Οἱ πένητες οὐκ ὀρθῶς δοξάζουσι περὶ τῶν πλουσίων, εἴ γε πανευδαίμονας αὐτοὺς οἴονται εἶναι.* — 108) (*Τίς οὐ διαμαχέσαιτο ἂν*) *περὶ τῆς γῆς*, (*ἐν ᾗ ἔφυ καὶ ἐξετράφη*); — 109) *Πρὸς θεῶν πατρῴων καὶ μητρῴων καὶ ξυγγενείας καὶ κηδεστίας καὶ ἑταιρίας, αἰδούμενοι καὶ θεοὺς καὶ ἀνθρώπους παύσασθε ἁμαρτάνοντες ἐς τὴν πατρίδα καὶ μὴ πείθεσθε* (*τούτοις τοῖς ἀνδράσιν, οἳ ἰδίων κερδέων ἕνεκα πάντα ἀνατρέπειν ἐπιχειροῦσι*). — 110) *Θεμιστοκλῆς πατρὸς μὲν ἦν Νεοκλέους, οὐ τῶν ἄγαν ἐπιφανῶν Ἀθήνησι, Φρεαρίου τὸν δῆμον, ἐκ τῆς Λεοντίδος φυλῆς· νόθος* [4]) *δὲ πρὸς μητρός.* — 111) *Περικλῆς τὸν αὑτοῦ οἶκον ἐλάττω κατέλιπεν, ἢ παρὰ τοῦ πατρὸς παρέλαβεν.* — 112) *Οἱ Ἕλληνες λέγουσι, ὡς τὸν Ἡρακλέα ἀφικόμενον ἐς Αἴγυπτον στέψαντες οἱ Αἰγύπτιοι ὑπὸ πομπῆς ἐξῆγον, ὡς θύσοντες τῷ Διΐ.*

Ablativ.

(Kl. griech. Gramm. §. 190. Gr. griech. Gramm. §. 263.)

113) *Οἱ Ἀθηναῖοι* (*ἐπὶ τὴν Σικελίαν*) *πολλῇ στρατιᾷ ὡρμήθησαν καὶ ναυτικῇ καὶ πεζικῇ· πρόφασιν μὲν Ἐγεσταίων ξυμμαχίᾳ καὶ Λεοντίνων κατοικίσει, τὸ δὲ ἀληθές, Σικελίας ἐπιθυμίᾳ.* — 114) *Ἀμφίπολις τοῖς Ἀθηναίοις ἦν ὠφέλιμος ξύλων τε ναυπηγησίμων πομπῇ καὶ χρημάτων προσόδῳ.* — 115) *Οὐ δίκαιον, ἃ τῇ ἀπορίᾳ ἐκτήθη, τῇ περιουσίᾳ ἀπολέσθαι.* — 116) *Οἱ Ἀθηναῖοι οὐ πρότερον ἐπαύσαντο*

---

107) Lucian. Epist. Saturn. 26. T. IX. p. 31. — 108) Thuc. V, 41. — 109) Xen. Hell. II, 4, 21. — 110) Plut. V. Them. c. 1. — 111) Isocrat. de pace c. 40. p. 295. — 112) Herodot. II, 115.

113) Thuc. VI, 33. — 114) Id. IV, 108. — 115) Id. I, 123. — 116) Id. II, 65.

4) Er war *νόθος*, weil seine Mutter eine Thracierin war; *νόθος* entgegen dem *γνήσιος πολίτης*, der von einem freien Athenäer und Athenäerin geboren ist.

ἐν ὀργῇ ἔχοντες [1]) τὸν Περικλέα, πρὶν ἐζημίωσαν χρήμασιν. — 117) Οἱ Ἕλληνες ἐνίκησαν τοὺς βαρβάρους ἐπιφανεστάτῃ ναυμαχίᾳ (περὶ τὴν Σαλαμῖνα). — 118) Παυσανίας ἐπαρθεὶς ταῖς εὐτυχίαις τὴν μὲν Λακωνικὴν ἀγωγὴν ἐστύγησε, τὴν δὲ τῶν Περσῶν ἀκολασίαν καὶ τρυφὴν ἐμιμήσατο. — 119) (Δεῖ ἄνδρα ἀγαθὸν) μήτε τῇ κατὰ πόλεμον εὐτυχίᾳ ἐπαίρεσθαι μήτε τῷ ἡσύχῳ τῆς εἰρήνης ἡδόμενον ἀδικεῖσθαι. — 120) Οἱ Σκυθῶν μάντεις μαντεύονται ῥάβδοις ἰτεΐναις πολλαῖς. — 121) Ἑλένη καὶ τῷ γένει καὶ τῷ κάλλει καὶ τῇ δόξῃ πολὺ διήνεγκε (πασῶν). — 122) Ἡρακλῆς καὶ Θησεὺς οὐ μόνον τοῖς ὅπλοις ἐκοσμήσαντο παραπλησίως, ἀλλὰ καὶ τοῖς ἐπιτηδεύμασι ἐχρήσαντο τοῖς αὐτοῖς, πρέποντα τῇ συγγενείᾳ [2]) ποιοῦντες. — 123) Αἱ τυραννίδες καὶ ὀλιγαρχίαι διοικοῦνται τοῖς τρόποις τῶν ἐφεστηκότων· αἱ δὲ πόλεις αἱ δημοκρατούμεναι τοῖς νόμοις τοῖς κειμένοις. — 124) Ζήνων ἔφη δεῖν τὰς πόλεις κοσμεῖν οὐκ ἀναθήμασιν, ἀλλὰ ταῖς τῶν οἰκούντων ἀρεταῖς. — 125) Δεκάτῳ ἔτει μετὰ (τὴν ἐν Μαραθῶνι γενομένην μάχην) αὖθις ὁ βάρβαρος τῷ μεγάλῳ στόλῳ ἐπὶ τὴν Ἑλλάδα δουλωσόμενος ἦλθε. — 126) Οἱ νομάδες τῶν Λιβύων οὐ ταῖς ἡμέραις, ἀλλὰ ταῖς νυξὶ, αὐτῶν ἀριθμοῦσι τὸν χρό-

---

117) Diodor. Sic. XI, 19. — 118) Id. ib. c. 46. — 119) Thuc. I, 120. — 120) Herodot. IV, 67. — 121) Isocrat. Helen. Encom. c. 7. p. 341. — 122) Id. ib. c. 12. p. 344. — 123) Stob. Serm. CXLI. p. 416. — 124) Id. ib. p. 418. — 125) Thuc. I, 18. — 126) Stob. Serm. CXLI. p. 471.

1) Ueber ἐπαύσαντο — ἔχοντες s. m. kl. griech. Gramm. §. 223. 2.; gr. griech. Gramm. §. 297. 3. — ἐν ὀργῇ ἔχειν i. q. ὀργίζεσθαι u. s. v. a. δι' ὀργῆς ἔχειν; so διὰ στόματος im Munde, διὰ χειρὸς in der Hand, vorzügl. von Leitung der Staatsgeschäfte, wie Thuc. II, 13.: τὰ τῶν ξυμμάχων διὰ χειρὸς ἔχειν. — δι' ὑποψίας εἶναι: Plut. Demetr. 46. verdächtig seyn. — διὰ φροντίδος ἔχειν sich Etwas zur Sorge seyn lassen, Lucian. Dem. Encom. 35. T. IX. p. 163. — διὰ φόβου εἶναι fürchten, Thuc. VI, 34. — διὰ σπουδῆς ἄγειν schätzen, Ael. V. H. VIII, 2. — δι' αἰτίας ἔχειν beschuldigen, Thuc. II, 60. ἐν αἰτίᾳ ἔχειν dasselbe, ib. c. 59.

2) Jener Sohn des Zeus, dieser des Poseidon.

νον. — 127) Σεμίραμις γενεαῖς πέντε πρότερον ἐγένετο τῆς Νιτοκρίδος. — 128) Θάσιοι ³) τρίτῳ ἔτει πολιορκούμενοι ὡμολόγησαν Ἀθηναίοις.

Präpositionen beym Ablativ.

(Kl. griech. Gramm. §. 191. Gr. griech. Gramm. §. 264.)

129) Οἱ ποταμοὶ πρὸς μὲν ταῖς πηγαῖς οὐ μεγάλοι εἰσὶν, ἀλλ' εὐδιάβατοι· ὅσῳ δ' ἂνποῤῥωτέρω γένωνται, ἐπεμβάλλοντες ἕτεροι ποταμοὶ ἰσχυρότερον αὐτῶν τὸ ῥεῦμα ποιοῦσι· (οὕτω καὶ αἱ πόλεις παραλαμβάνουσαι ὅτι πλείστους συμμάχους, πλείονες τε καὶ δυςμαχώτεραι γίγνονται). — 130) Παρὰ Ταρτησσίοις νεωτέρῳ πρεσβυτέρου καταμαρτυρεῖν οὐκ ἐξῆν. — 131) Οἱ Διόςκουροι τιμῆς ἰσοθέου ἔτυχον παρὰ πᾶσιν ἀνθρώποις. — 132) Κίμων οὐ μόνον παρὰ τοῖς πολίταις, ἀλλὰ καὶ παρὰ τοῖς ἄλλοις Ἕλλησι περιβόητον ἔσχε δόξαν. — 133) Εἰ περιοψόμεθα τοὺς συμμάχους ὑπὸ τοῖς πολεμίοις γενέσθαι, αὐτοὶ κινδυνεύσομεν, ἀδελφὰ αὐτοῖς πάσχειν. — 134) Δεῖ τὸν δικαστὴν σὺν τῷ νόμῳ τὴν ψῆφον τίθεσθαι. — 135) Μεγάβαζος ὁ Ζωπύρου ἐπολιόρκει τοὺς Ἀθηναίους ¹) παραβοηθήσαντας τοῖς ἀπὸ τοῦ βασιλέως ἀποστᾶσιν Αἰγυπτίοις, ἐν τῇ Προσωπίτιδι νήσῳ ἐνιαυτὸν καὶ μῆνας ἕξ. — 136) Ἄμεινόν ἐστιν οἰκεῖν ἐν πολίταις χρηστοῖς ἢ πονηροῖς. — 137) (Πρὸ τῆς τοῦ στόλου ἐς Σικελίαν ἀναγωγῆς) περιεκόπησαν ἐν τῇ πόλει τῇ Ἀθηναίων ἐν

---

127) Herodot. I, 184. — 128) Thuc. I, 101.

129) Xen. Hell. IV, 2, 11. — 130) Stob. Serm. CXLV. p. 470. — 131) Diodor. Sic. IV, 48. — 132) Id. XI, 62. — 133) Thuc. VI, 86. — 134) Xen. Cyr. I, 3, 17. — 135) Thuc. I, 109. — 136) Plato Apol. Socr. p. 250. — 137) Thuc. VI, 27.

3) Sie waren nämlich von Athen abgefallen, wegen Streitigkeiten über Handelsplätze und Bergwerke.

1) Bey dieser Hülfleistung gingen den Athenäern mehr denn 200 Schiffe zu Grunde, und der größte Theil der sich auf ihnen befindlichen Mannschaft ward aufgerieben, so daß nur wenige mühselig nach Hause zurückkehrten.

μιᾷ νυκτὶ οἱ πλεῖστοι τῶν λιθίνων Ἑρμῶν τὰ πρόσωπα· [εἰσὶ δὲ κατὰ τὸ ἐπιχώριον ἡ τετράγωνος ἐργασία, πολλοὶ καὶ ἐν ἰδίοις προθύροις καὶ ἐν ἱεροῖς]. — 138) Οἱ Ἀθηναῖοι τὴν Ἠϊόνα εἶχον ἐμπόριον ἐπὶ τῷ στόματι τοῦ Στρυμόνος ποταμοῦ ἐπιθαλάσσιον. — 139) Οἱ Ποτειδαιᾶται [2]), οἳ οἰκοῦσι ἐπὶ τῷ Ἰσθμῷ τῆς Παλλήνης, Κορινθίων εἰσὶν ἄποικοι. — 140) Θεόφραστος ἔφη, τοὺς μοχθηροὺς τῶν ἀνθρώπων οὐχ οὕτως ἥδεσθαι ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς, ὡς ἐπὶ τοῖς ἀλλοτρίοις κακοῖς. — 141) Ὁ ἄρχων οὐκ ἐπὶ τούτῳ αἱρεῖται ὡς κακῶς ποιήσων, ἀλλ' ὡς εὖ. — 142) Λέγεται τὰ Θεμιστοκλέους ὀστᾶ τεθῆναι ὑπὸ τῶν φίλων ἐν τῇ Ἀττικῇ κρύφα Ἀθηναίων· οὐ γὰρ ἐξῆν θάπτειν, ὡς ἐπὶ προδοσίᾳ φεύγοντα.

D a t i v.

(Kl. griech. Gramm. §. 192. Gr. griech. Gramm. §. 275.)

143) Νόμῳ καὶ ἄρχοντι καὶ τῷ σοφωτέρῳ εἴκειν κόσμιον. — 144) Ἐν μὲν τῷ πλεῖν πείθεσθαι δεῖ τῷ κυβερνήτῃ, ἐν δὲ τῷ ζῆν τῷ λογίζεσθαι δυναμένῳ βέλτιον. — 145) Σόλων ἐρωτηθεὶς, πῶς ἄριστα αἱ πόλεις οἰκοῖντο, εἶπεν· ἐὰν μὲν οἱ πολῖται τοῖς ἄρχουσι πείθωνται, οἱ δὲ ἄρχοντες τοῖς νόμοις. — 146) Ὄμνυμεν ὑμῖν ἐμμένειν ταῖς ξυνθήκαις καὶ ταῖς σπονδαῖς ταῖσδε, δικαίως καὶ ἀδόλως. — 147) Εὐθὺς μετὰ τὴν Κίμωνος τελευτὴν οἱ Ἀθηναῖοι πλεύσαντες ὑπὲρ Σαλαμῖνος τῆς ἐν Κύπρῳ, Φοίνιξι καὶ Κυπρίοις καὶ Κίλιξιν ἐναυμάχησαν καὶ ἐπεζομάχησαν ἅμα. —

---

138) Thuc. IV, 102. — 139) Id. I, 56. — 140) Stob. Serm. CXXXIX. p. 404. — 141) Id. Serm. CLII. p. 580. — 142) Thuc. I, 138.

143) Stob. Serm. XLII. p. 149. — 144) Id. ib. p. 150. — 145) Id. Serm. CXLI. p. 418. — 146) Thuc. V, 18. — 147) Id. I, 112.

2) Ποτειδαιᾶται und Ποτείδαια von Ποτειδᾶν (Ποσειδάων). Die Ausg. und Handschr. Ποτίδαια und Ποτιδαιάται. M. s. h. Acta Phil. Monac. Tom. II. Fasc. III. p. 416.

148) *Δουλεύειν πάθεσιν χαλεπώτερον ἢ τυράννοις.* — 149) *Πυνθανομένου τινὸς, πῶς ἄν τις ἑαυτοῦ γένοιτο, ἔλεγεν ὁ Διογένης, εἰ ὑπὲρ ὧν ἐπιτιμᾷ τοῖς ἄλλοις, και ἑαυτῷ ἐπιτιμῴη μάλιστα.* — 150) *Ψυχὴ ὁμιλοῦσα ἀρετῇ ἔοικεν ἀεννάῳ πηγῇ.* — 151) *Ἔλεγεν ὁ Βίας τὸ λέγειν δύνασθαι τὰ συμφέροντα τῇ πατρίδι ψυχῆς ἴδιον καὶ φρονήσεως.* — 152) *Περικλῆς ἠναντιοῦτο πάντα τοῖς Λακεδαιμονίοις καὶ ὥρμα τοὺς Ἀθηναίους ἐς πόλεμον πρὸς αὐτούς.* — 153) *Θεμιστοκλῆς ταῖς ναυσὶ μάλιστα προσέκειτο καὶ πρῶτος ἐτόλμησεν εἰπεῖν, ὡς ἀνθεκτέα ἐστὶ τῆς θαλάσσης.* — 154) *Παρὰ τοῖς Αἰγυπτίοις εἴ τις τῶν τεχνιτῶν μετάσχοι τῆς πολιτείας ἢ τέχνας πλείους ἐργάζοιτο, μεγάλαις περιπίπτει ζημίαις.* — 155) *Νομίζω, δύο τὰ ἐναντιώτατα τῇ εὐβουλίᾳ εἶναι, τάχος τε καὶ ὀργήν.* — 156) *Οἱ Λακεδαιμόνιοι ἐποιοῦντο εἰρήνην πρὸς τοὺς Ἀθηναίους, ἐφ᾽ ᾧ τά τε μακρὰ τείχη καὶ τὸν Πειραιᾶ καθελόντας, καὶ τὰς ναῦς πλὴν δώδεκα παραδόντας, καὶ τοὺς φυγάδας κατάξαντας, τὸν αὐτὸν ἐχθρὸν καὶ φίλον νομίζοντας Λακεδαιμονίοις ἕπεσθαι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, ὅποι ἂν ἡγῶνται.* — 157) *Ἀλέξανδρος ὁ Μέγας παρακαλούμενος ὑπὸ τῶν φίλων νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις εἶπεν· οὐ βασιλικόν ἐστι κλέπτειν τὴν νίκην.*

Accusativ.

(Kl. griech. Gramm. §. 193. Gr. griech. Gramm. §. 266.)

158) *Ἀριστείδης ὁ Λυσιμάχου, φυλῆς* [1]) *μὲν ἦν Ἀντιοχίδος, τὸν δὲ δῆμον Ἀλωπεκῆθεν.* —

---

148) Stob. Serm. XXXVIII. p. 131. — 149) Id. Serm. I. p. 4. — 150) Id. ib. p. 6. — 151) Diog. Laërt. I, 86. — 152) Thuc. I, 127. — 153) Id. ib. 93. — 154) Diodor. Sic. I, 74. — 155) Thuc. III, 42. — 156) Xen. Hell. II, 2, 20. — 157) Stob. Serm. XLIX. p. 177.

158) Plut. V. Aristid. c. 1.

1) Die Bürger Attica's waren seit Clisthenes (510 v. Chr.) in 10 Stäm-

159) *Κίμων ἦν καὶ τὴν ἰδέαν οὐ μεμπτὸς, ἀλλὰ μέγας καὶ πολλῇ τριχὶ κομῶν τὴν κεφαλήν.* — 160) *Οἱ τὸν ἥλιον ἐκλείποντα θεωροῦντες καὶ σκοπούμενοι* [2]) *διαφθείρονταί που τὰ ὄμματα, ἐὰν μὴ ἐν ὕδατι ἢ ἔν τινι τοιούτῳ σκοπῶνται τὴν εἰκόνα αὐτοῦ.* — 161) (*Τῶν Ἑλλήνων τῶν μετὰ Κύρου ἐπὶ τὸν ἀδελφὸν στρατευσάντων*) *ἐν τῇ ἐπανόδῳ πολλοὶ μὲν διεφθάρησαν ὑπὸ τῆς χιόνος τοὺς ὀφθαλμοὺς, πολλοὶ δὲ ὑπὸ τοῦ ψύχους τοὺς δακτύλους τῶν ποδῶν ἀποσεσηπότες.*

Accusativ zur Bezeichnung der Bewegung.

(Kl. griech. Gramm. §. 195. Gr. griech. Gramm. §. 268.)

162) *Ὅταν οἱ νέοι ἐκ παίδων εἰς ἥβην ὁρμῶνται ἤδη αὐτοκράτορες γιγνόμενοι, δηλοῦσιν, εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας.*

Accusativ zur Bezeichnung der Dauer.

(Kl. griech. Gramm. §. 196. Gr. griech. Gramm. §. 269.)

163) *Οἱ Καρχηδόνιοι εἷλον Ἀκράγαντα λιμῷ προσκαθεζόμενοι ἑπτὰ μῆνας.* — 164) (*Κύρῳ Βαβυλῶνα πολιορκοῦντι ἠγγέλθησαν*) *οἱ Βαβυλώνιοι ἑορτὴν τοιαύτην ἄγοντες, ἐν ᾗ πάντες ὅλην τὴν νύκτα πίνουσι καὶ κωμάζουσιν.* — 165) *Κλεάνθης ὁ Ζήνωνος μαθητὴς καὶ διάδοχος, ἐννέα καὶ ἐννενήκοντα γεγονὼς ἔτη, ἐξέλιπε τὸν βίον.*

---

159) Plut. V. Cimon. c. 5. — 160) Plat. Phaed. c. 48. — 161) Xen. Anab. IV, 5, 12.

162) Xen. Mem. II, 1, 21.

163) Id. Hell. I, 5, 21. — 164) Id. Cyr. VII, 5, 15. — 165) Lucian. Macrob. 19. T. VIII. p. 125.

me, *φυλὰς*, und diese wiederum nach den Wohnplätzen in 174 *δήμους* getheilt.

2) So *θεᾶσθαι* und *σκέπτεσθαι* bey Herodot. I, 30. Jenes das allgemeine, dieses das besondere bezeichnend.

Accusativ wegen Verwechslung der Begriffe.

(Kl. griech. Gramm. §. 198. Gr. griech. Gramm. §. 271.)

166) *Παυσανίαν διὰ τῆς Θρᾴκης πορευόμενον Μῆδοι καὶ Αἰγύπτιοι ἐδορυφόρουν* [1]. — 167) *Πλείσταρχον τὸν Λεωνίδου, ὄντα βασιλέα καὶ νέον ἔτι, ἀνεψιὸς ὢν ἐπετρόπευεν ὁ Παυσανίας.* — 168) *Συληθεὶς Ἡρακλῆς τὰς βοῦς ὑπὸ Νηλέως καὶ τῶν παίδων τοὺς ἀδικήσαντας ἀπέκτεινεν.* — 169) *Αἰάκης ὁ Σάμου τύραννος ὑπὸ τοῦ Μιλησίου Ἀρισταγόρου ἀπεστέρηται τὴν ἀρχήν.* — 170) *Ὁ νόμος· ἀποτετμῆσθαι τὴν κεφαλὴν, εἴτις λιπὼν φαίνοιτο τὴν τάξιν.* — 171) *Οἱ πατέρες προνοοῦσι τῶν παίδων, ὅπως μήποτε αὐτοὺς τἀγαθὰ ἐπιλείψει.*

Doppelter Accusativ.

(Kl. griech. Gramm. §. 200. Gr. griech. Gramm. §. 273.)

172) *Καμβύσης ἔπεμψε κήρυκα ἐς Αἴγυπτον καὶ ᾔτει Ἄμασιν θυγατέρα.* — 173) *Οἱ Ἀθηναῖοι Ἀπολλόδωρον τὸν Κυζικηνὸν πολλάκις στρατηγὸν εἵλοντο.* — 174) *Κύριος γενόμενος ὁ Περικλῆς τῆς Σάμου (αὕτη γὰρ νῆσος ἀφειστήκει ἀπὸ τῶν Ἀθηναίων) καὶ κολάσας τοὺς αἰτίους τῆς ἀποστάσεως, ἐπράξατο τοὺς Σαμίους τὰς εἰς τὴν πολιορκίαν γεγενημένας δαπάνας, τιμησάμε-*

---

166) Thuc. I, 130. — 167) Id. ib. c. 132. — 168) Isocrat. ad Archidam. Or. c. 6. p. 149. — 169) Herodot. VI, 13. — 170) Lucian. Navig. 33. T. VIII. p. 184. — 171) Xen. Cyr. VIII, 1, 1.

172) Herodot. III, 1. — 173) Aelian. Var. Hist. XIV, 5. — 174) Diodor. Sic. XII, 28.

1) Sich mit Doryphoren zu umgeben ist gegen die griechischen Gebräuche ein Zeichen, sich die Tyrannis verschaffen zu wollen; denn alle, die nach der Tyrannis strebten, erbaten sich zuerst vom Volke eine Leibwache zur Sicherheit (*δορυφόρους*), durch deren Hülfe sie dann ihren Plan leicht durchsetzten. So Pisistratus u. a. M. s. h. Ael. V. H. VIII, 16. u. d. Kuhn. — Dadurch und durch Nachahmung anderer orientalischen Gebräuche mußte sich Pausanias nothwendig den Griechen verdächtig machen.

νος αὐτὰς ταλάντων διακοσίων. — 175) Οὔκουν εἰκός ἐστιν ἄλλον γε δὴ ἢ μαινόμενον ἄνδρα γέλωτα τίθεσθαι (τὰ ταῖς πόλεσι νομιζόμενα). — 176) Κοινὴν προςήκει πάντων μητέρα τὴν πατρίδα νομίζειν, καὶ χαριστήρια τροφῶν ἀποδιδόναι καὶ τῆς τῶν νόμων αὐτῶν γνώσεως. — 177) Ξέρξης στρατεύων ἐπὶ τὴν Ἑλλάδα προεξέπεμψε κήρυκας καὶ προςέταξεν, εἰς πάσας τὰς πόλεις ἰέναι καὶ τοὺς Ἕλληνας αἰτεῖν ὕδωρ καὶ γῆν [1]).

Präpositionen beym Accusativ.

(Kl. griech. Gramm. §. 201. Gr. griech. Gramm. §. 274.)

178) Μετὰ τὴν διαίρεσιν τῆς λείας (τῆς ἐκ τῶν Περσῶν γενομένης) ἔπλευσαν οἱ Ἕλληνες ἐς τὸν Ἰσθμὸν, ἀριστεῖα δώσοντες τῷ ἀξιωτάτῳ γενομένῳ Ἑλλήνων ἀνὰ τὸν πόλεμον (τὸν πρὸς τοὺς βαρβάρους γενόμενον). — 179) Ὁ Εὐφράτης ποταμὸς (πρὸ τῆς Σεμιράμιδος) εἰώθει ἀνὰ τὸ πεδίον πᾶν (τὰ περὶ Βαβυλῶνα) πελαγίζειν. — 180) (Ἐν τῇ πρώτῃ καὶ ἐννενηκοστῇ ὀλυμπιάδι) ἐγίγνετο ἡ Ἀθηναίων ἀναγωγὴ ἐς Σικελίαν. — 181) (Θεμιστοκλῆς καὶ Ἀριστείδης ἠναντιοῦντο ἀλλήλοις) ἀπὸ τῆς πρώτης ἡλικίας ἐς ἔσχατον γῆρας. — 182) Αἱ πλεῖσται στάσεις διὰ φιλοτιμίαν ἐν ταῖς πόλεσι γίγνονται. — 183) Παυσανίας ἐν μεγάλῳ ἀξιώματι ἦν ὑπὸ τῶν Ἑλλήνων διὰ τὴν Πλαταιάσιν ἡγεμονίαν. — 184) Ἔνιοι μὲν διὰ τὸν πόλεμον μεγάλην εὐδαιμονίαν κτῶνται, (οἱ δὲ πλεῖστοι τὰ αὑτῶν ἀποβάλλουσιν). — 185) Ἡ μὲν ἑκόντων τε τῶν ἀνθρώπων καὶ κατὰ νόμους τῶν πόλεων ἀρχὴ βασιλεία ἡγεῖται· ἡ δὲ

---

175) Herodot. III, 38. — 176) Lucian. Patriae Encom. 7. T. VIII. p. 135. — 177) Diodor. Sic. XI, 2.

178) Herodot. VIII, 123. — 179) Id. I, 184. — 180) Thuc. VI, 30. — 181) Aelian. Var. Hist. XIII, 44. — 182) Stob. Serm. CLI. p. 522. — 183) Thuc. I, 130. — 184) Isocrat. ad Archidam. Or. c. 22. p. 190. — 185) Stob. Serm. CXLI. p. 413.

1) Als Zeichen der Unterwürfigkeit und Ergebung.

ἀκόντων τε καὶ μὴ κατὰ νόμους, ἀλλ' ὅπως βούλεται ὁ ἄρχων, τυραννίς. — 186) (Λύσανδρος ἐπολιόρκει τοὺς Ἀθηναίους) κατὰ γῆν καὶ κατὰ θάλατταν. — 187) Θεμιστοκλῆς καὶ Παυσανίας λαμπρότατοι ἐγένοντο τῶν καθ' ἑαυτοὺς Ἑλλήνων. — 188) Θουκυδίδης ξυνέγραψε (τὸν Πελοποννησιακὸν πόλεμον) κατὰ θέρη καὶ χειμῶνας ἀριθμῶν. — 189) Οὐδενὸς τολμήσαντος ἅψασθαι τοῦ Φωκίωνος σώματος [1]), Κωνωπίων τις μισθοῦ κομισθέντα τὸν νεκρὸν ὑπὲρ τὴν Ἐλευσῖνα, πῦρ λαβὼν ἐκ τῆς Μεγαρικῆς ἔκαυσεν. — 190) Ταρκύνιος ὁ τελευταῖος Ῥωμαίων βασιλεὺς, φυγαδευθεὶς καὶ ἐπὶ Κύμης διατρίβων, ὑπὲρ τὰ ἐνενήκοντα ἔτη λέγεται στεῤῥότατα βιῶσαι. — 191) Θεμιστοκλῆς συνεβούλευσε τοῖς Ἕλλησι περὶ τὴν Σαλαμῖνα ποιεῖσθαι (τὴν ναυμαχίαν, καὶ ἐνίκησεν ἡ αὐτοῦ γνώμη). — 192) (Τοῦ λοιμοῦ τὰς Ἀθήνας πιέζοντος) νόμοι πάντες συνεταράχθησαν, οἷς ἐχρῶντο πρότερον περὶ τὰς ταφάς. — 193) Ἄκανθος καὶ Ἀπολλωνία ἦσαν μέγισται τῶν περὶ Ὄλυνθον πόλεων. — 194) Ὤικουν (πάλαι) καὶ Φοίνικες περὶ πᾶσαν τὴν Σικελίαν. — 195) Ξυνέβη τῷ Θουκυδίδῃ φεύγειν [2]) τὴν ἑαυτοῦ ἔτη εἴκοσι μετὰ τὴν ἐς Ἀμφίπολιν στρατηγίαν. — 196) Μετὰ τὴν Βαβυλῶνος αἵρεσιν ἐγένετο τῷ Δαρείῳ ἡ ἐπὶ Σκύθας ἔλασις. — 197) Τισσαφέρνης διέβαλλε τὸν Κῦρον πρὸς τὸν ἀδελφὸν, (ὡς ἐπιβουλεύοι αὐτῷ). — 198) Οἱ Σικανοὶ ᾤκουν τὰ πρὸς ἑσπέραν τῆς Σικε-

---

186) Xen. Hell. II, 2, 10. — 187) Thuc. I, 138. — 188) Id. V, 26. — 189) Plut. V. Phoc. c. 37. — 190) Lucian. Macrob. 8. T. VIII. p. 118. — 191) Diodor. Sic. XI, 15. — 192) Thuc. II. c. 52. — 193) Xen. Hell. V, 2, 11. — 194) Thuc. VI, 2. — 195) Id. V, 26. — 196) Herodot. IV, 1. — 197) Xen. Anab. I, 1, 3. — 198) Thuc. VI, 2.

1) Phocion, der Staatsverrätherey angeklagt, hatte den Giftbecher trinken müssen; daher Niemand ihn zu begraben wagte.

2) Weil Thucydides von Thasos aus, wo er als Befehlshaber stand, zu spät kam, und ihm so Amphipolis durch Brasidas für die Spartaner weggenommen wurde, mußte er auf 20 Jahre Athen verlassen.

λίας. — 199) Ἡ Ναξίων πόλις ἀποστᾶσα τῶν Ἀθηναίων πρώτη ὑπὸ τούτων, ξυμμαχὶς οὖσα, παρὰ τὸ καθεστηκὸς [3]) ἐδουλώθη. — 200) (Μετὰ τὴν περὶ τοὺς Αἰγὸς ποταμοὺς γενομένην ναυμαχίαν) Κόνων ὀκτὼ ναυσὶν ἀπέπλευσε παρ' Εὐαγόραν ἐς Κύπρον. — 201) Γέλων ἐν Ἱμέρᾳ νικήσας Καρχηδονίους πᾶσαν ὑφ' ἑαυτὸν τὴν Σικελίαν ἐποιήσατο.

Adjectivum verbale.

(Kl. griech. Gramm. §. 204. Gr. griech. Gramm. §. 280.)

202) Προαιρετέον μέτριον μετὰ δικαιοσύνης μᾶλλον ἢ μέγαν πλοῦτον μετ' ἀδικίας. — 203) Πᾶσαν μὲν κακίαν φευκτέον ἐστὶ τοῖς νοῦν ἔχουσι, μάλιστα δὲ τὴν πλεονεξίαν. — 204) (Οἱ Λακεδαιμόνιοι ὁρῶντες τὴν Ἀθηναίων αὐξομένην δύναμιν ἐφοβοῦντο) καὶ οὐκέτι ἀνασχετὸν ἐποιοῦντο, ἀλλ' ἐπιχειρητέα ἐδόκει εἶναι πάσῃ προθυμίᾳ καὶ καθαιρετέα ἡ ἰσχὺς (ταύτης τῆς πόλεως). — 205) Εἰ τιμᾶσθαι βούλει, ὠφελητέα σοι ἡ πόλις ἐστίν. — 206) Οὔτε ἐξ ἱεροῦ βωμὸν, οὔτε ἐκ τῆς ἀνθρωπίνης φύσεως ἀφαιρετέον τὸν ἔλεον.

---

199) Thuc. I, 98. — 200) Xen. Hell. II, 1, 29. — 201) Aelian. Var. Hist. VI, 11.

202) Stob. Serm. XV. p. 55. — 203) Diodor. Sic. fragm. L. XXI. p. 263. — 204) Thuc. I, 118. — 205) Xen. Mem. III, 6, 3. — 206) Stob. Serm. LXXVI. p. 275.

3) Nachdem sich die Barbaren aus Griechenland entfernt hatten und nichts weiter zu befürchten war, glaubten die meisten der verbündeten Inseln aus dem Bunde, den sie für ihre Sicherheit gegen die Perser geschlossen, treten zu können. Allein Athen erklärte sich dafür, daß dieser Bund für immer bestehen müsse. Viele der Inseln fielen daher von Athen ab, besonders wegen der Strenge Athen's in Eintreibung der Beyträge. Welche nun abfielen, wurden zum Gehorsam zurückgebracht, aber ihr Zustand verschlimmert; denn anstatt αὐτόνομοι und ὑποτελεῖς φόρου zu seyn, wurden sie eigentliche ὑπήκοοι von Athen; mußten sich ihte Obrigkeit von dieser Stadt bestimmen lassen; ihre Streitigkeiten daselbst der Entscheidung unterwerfen, u. dgl. m.

Comparativ.

(Kl. griech. Gramm. §. 205. Gr. griech. Gramm. §. 281.)

207) Ἀλκιβιάδης ὢν ἐν ἀξιώματι ὑπὸ τῶν ἀστῶν ταῖς ἐπιθυμίαις μείζοσιν ἢ κατὰ τὴν ὑπάρχουσαν οὐσίαν ἐχρῆτο ἔς τε τὰς ἱπποτροφίας [1]) καὶ τὰς ἄλλας δαπάνας. — 208) Ἆγις, Λακεδαιμονίων βασιλεὺς, γέρων ἤδη ὢν ἔκαμεν (ἐν τῇ πορείᾳ) καὶ ἔτι ζῶν ἐς Λακεδαίμονα ἀπενεχθεὶς ἐκεῖ ἐτελεύτησε ταχὺ, καὶ ἔτυχε σεμνοτέρας ἢ κατὰ ἄνθρωπον ταφῆς.

Ueber die Mode.

Optativ.

(Kl. griech. Gramm. §. 219. Gr. griech. Gramm. §. 298.)

209) Κῦρος ἀεὶ ἐπεμέλετο, ὁπότε συσκηνοῖεν (τινὲς παρ' αὐτῷ), ὅπως εὐχαριστότατοί τε ἅμα λόγοι ἐμβληθήσονται καὶ παρορμῶντες εἰς τἀγαθόν. — 210) Ἐν Κελαιναῖς, τῆς Φρυγίας πόλει οἰκουμένῃ, μεγάλῃ καὶ εὐδαίμονι, τῷ νεωτέρῳ Κύρῳ βασίλεια ἦν καὶ παράδεισος μέγας, ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου, ὁπότε γυμνάσαι βούλοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους. — 211) Τῆς Ἀρμενίας τῆς πρὸς ἑσπέραν ὕπαρχος ἦν Τηρίβαζος τῷ βασιλεῖ οὕτω φίλος γενόμενος, ὥστε, ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον [1]) ἀνέβαλλεν. — 212) Ἀγεσί-

---

207) Thuc. VI, 15. — 208) Xen. Hell. III, 3, 1.

209) Xen. Cyr. II, 2, 1. — 210) Id. Anab. I, 2, 7. — 211) Id. Anab. IV, 4, 4. — 212) Id. Agesil. XI, 2.

1) Pferde für die Kampfspiele, das Wagenrennen ꝛc. sich zu halten, war insgemein den großen reichen Familien eigen, und in den Festspielen der Nation den Sieg davon zu tragen, galt für hohen Ruhm. — Alcibiades hatte zu den Spielen nach Olympia 7 Wagen gesandt, dergleichen Niemand vor ihm gesehen hatte. — Die δαπάναι sind die Ausrüstung von Trieren, die Aufführung von Chören in Schauspielen, anderen Festaufzügen u. dgl. m., die den reichern Athenäischen Bürgern zur Last fielen.

1) Man muß hier nicht vergessen, daß es für einen Statthalter in einer Despotie gar nicht erniedrigend sey, solch ein Geschäft zu haben.

λαος, ὁπότε εὐτυχοίη, οὐκ ἀνθρώπων ὑπερεφρόνει, ἀλλὰ θεοῖς χάριν ᾔδει. — 213) Γονέων ἀμελεῖν, οὔτε θεὸς, οὔτε ἄνθρωπος νοῦν ἔχων ξύμβουλος ποτὲ γένοιτ' ἂν οὐδεὶς οὐδενί. — 214) Ἐπὶ ταῖς βασιλέως θύραις [2]) πολλὴν μὲν σωφροσύνην καταμάθοι ἄν τις, αἰσχρὸν δ' οὐδὲν οὔτε ἀκοῦσαι, οὔτ' ἰδεῖν ἐστίν. — 215) Ὅστις (τῶν θεοῦ ὅρκων) σύνοιδεν αὐτῷ παρημεληκὼς, τοῦτον ἐγὼ οὔποτ' ἂν εὐδαιμονίσαιμι. — 216) Οὐκ ἄκαιρον ἂν γένοιτο (συμβουλεύειν ὑμῖν, μὴ πιστεύειν τοῖς κολακεύουσιν).

Conjunctiv.

(Kl. griech. Gramm. §. 220. Gr. griech. Gramm. §. 294.)

217) Ὥσπερ τὰ τόξα καὶ τὰς λύρας ἀνίεμεν, ἵνα ἐπιτεῖναι δυνηθῶμεν, (οὕτω καὶ τὴν ψυχὴν ἀναπαύσεως τῶν πόνων τυχεῖν, πᾶσα ἀνάγκη). — 218) Ἕως ἂν ἔχωσι τὰ δέοντα οἱ στρατιῶται, ὑπηρετήσουσι τῷ στρατηγῷ. — 219) Δίκαιος ἴσθι, ἵνα καὶ δικαίων δὴ τύχῃς. — 220) Ἐγὼ τοῦτο ἡγοῦμαι μέγα τεκμήριον ἄρχοντος ἀρετῆς εἶναι, ᾧ ἂν ἑκόντες ἕπωνται καὶ ἐν τοῖς δεινοῖς παραμένειν ἐθέλωσιν. — 221) Οἰόμεθα πάντας ἀνθρώπους νομίζειν, εὔνοιαν δεῖν ἀποκεῖσθαι τούτῳ, παρ' οὗ ἄν τις δῶρα λαμβάνῃ.

---

213) Plato de Legg. XI. p. 930. e. — 214) Xen. Anab. I, 9, 3. — 215) Id. ib. II, 5, 7. — 216) Lucian. adv. Indoct. 11. T. VIII. p. 13.

217) Plut. de Educ. Lib. c. 13. T. VII. p. 35. — 218) Xen. Cyr. I, 6, 10. — 219) Stob. Serm. LI. p. 182. — 220) Id. Serm. CLI. p. 540. — 221) Xen. Anab. VII, 7, 46.

Denn dem Perser-König und jedem andern Despoten sind die Unterthanen nicht freye Bürger, sondern δοῦλοι, Knechte. Für diese aber ist es große Vergünstigung, den Herrn auf das Pferd heben zu dürfen.

2) ἐπὶ ταῖς βασιλέως θύραις, ein persischer Ausdruck zur Bezeichnung des königl. Pallastes und seiner Umgebung, wo sich in den Vorgemächern die k. Hofbedienten aufhielten, um auf des Königs Befehle sogleich bereit zu seyn, und die Staatsgeschäfte zu besorgen. Daher noch jetzt die Benennung die ottomanische oder hohe Pforte bey den Türken.

Imperativ.

(Kl. griech. Gramm. §. 221. Gr. griech. Gramm. §. 295.)

222) *Λέγει τις νόμος Λευκανῶν· ἐὰν ἡλίου δύναντος ἀφίκηται ξένος καὶ παρελθεῖν ἐθελήσῃ εἰς στέγην τινὸς, εἶτα μὴ δέξηται τὸν ἄνδρα, ζημιούσθω καὶ ὑπεχέτω δίκας.* — 223) *Ἀπέχεσθε τῶν ἀλλοτρίων, ἵν' ἀσφαλέστερον τοὺς οἴκους τοὺς ὑμετέρους αὐτῶν κεκτῆσθε.* — 223*) *Διαλυόντων οἱ πλούσιοι τὰ χρέα ὑπὲρ τῶν φίλων τῶν πενήτων, καὶ τὸ ἐνοίκιον, οἵτινες ἂν καὶ τοῦτο ὀφείλοντες καταβαλεῖν* [1]) *μὴ ἔχωσι· καὶ ὅλως πρὸ πολλοῦ μελέτω αὐτοῖς εἰδέναι, ὅτου μάλιστα δέονται.* — 224) *Βουλεύου μὲν βραδέως, ἐπιτέλει δὲ ταχέως τὰ δόξαντα.* — 224*) *Ἐκ τῶν κοινῶν ἐπιμελειῶν ἀπαλλάττου μὴ πλουσιώτερος, ἀλλ' ἐνδοξότερος.*

Infinitiv.

(Kl. griech. Gramm. §. 222. Gr. griech. Gramm. §. 296.)

225) *Πέφυκεν ὁ ἄνθρωπος τὸ μὲν θεραπεῦον ὑπερφρονεῖν, τὸ δὲ μὴ ὑπεῖκον θαυμάζειν.* — 226) *Οἱ δεσπόται τοῦ δραπετεύειν τοὺς οἰκέτας δεσμοῖς ἀπείργουσιν.* — 227) (*Καθίστανται ἀρχαὶ καὶ κεῖνται νόμοι*) *ὑπὲρ τοῦ μηδένα τῶν πολιτῶν ἀδικεῖσθαι.* — 228) *Τί ἐστὶν ἢ τοῦ ἀλέξασθαι δικαιότερον, ἢ τοῦ τοῖς φίλοις ἀρήγειν κάλλιον;* — 229) *Πεφύκασιν ἅπαντες καὶ ἰδίᾳ καὶ δημοσίᾳ ἁμαρτάνειν, καὶ οὐκ ἔστι νόμος, ὅστις ἀπείρξει*

---

222) Aelian. Var. Hist. IV, 1. — 223) Isocrat. Nicocl. p. 47. — 223*) Lucian. Chronosol. 15. T. IX. p. 19. — 224) Isocrat. ad Demon. p. 11. — 224*) Id. ib. p. 12.

225) Thuc. III, 39. — 226) Xen. Mem. II, 1, 16. — 227) Id. Hiero IV, 3. — 228) Id. Cyr. I, 5, 13. — 229) Thuc. III, 45.

1) *Καταβάλλειν* von Erlegung von Geldsummen. So *καταβαλεῖν χρήματα, ἀργύριον, τὰ πορθμία, ὀβολούς* etc. v. Thuc. I, 27. Plut. V. Them. c. 24. V. Camill. c. 28. Ael. V. H. IV, 12. Lucian. Dial. Meretr. XIV. T. VIII. p. 266. Cataplus 18. T. III. p. 198. de Luctu 10. T. VII. p. 211. Toxaris 31. T. VI. p. 93. al.

τούτου. — 230) Τοῖς ὑπ' Ἀθηναίων ἐκπεσοῦσιν [1]) Αἰγινήταις οἱ Λακεδαιμόνιοι ἔδοσαν Θυρέαν οἰκεῖν καὶ τὴν γῆν νέμεσθαι. — 231) Ὁ Σφήττιος Πολύευκτος [2]) εἶπεν, ὅτι ῥήτωρ μὲν ἄριστος εἴη Δημοσθένης, εἰπεῖν δὲ δεινότατος ὁ Φωκίων. — 232) Πολὺ διήνεγκεν ὁ Κῦρος ἀνθρώπων τῷ πλείστας προσόδους λαμβάνειν· πολὺ ἔτι πλέον διήνεγκε τῷ πλεῖστα ἀνθρώπων δωρεῖσθαι. — 233) Λύσανδρος διενοεῖτο καταλῦσαι τὴν τῶν Ἡρακλειδῶν βασιλείαν καὶ κοινὴν ἐκ πάντων Σπαρτιατῶν ποιῆσαι τὴν αἵρεσιν τῶν βασιλέων, ἐλπίζων εἰς ἑαυτὸν τάχιστα τὴν ἀρχὴν ἥξειν, διὰ τὸ μεγίστας καὶ καλλίστας πράξεις κατειργάσθαι. — 234) Τὸ λέγειν, ὡς δεῖ, τοῦ φρονεῖν εὖ μέγιστον σημεῖον ποιούμεθα.

Particip.

(Kl. griech. Gramm. §. 223. Gr. griech. Gramm. §. 297.)

235) (Ἐρατοσθένης ἀπέκτεινε τὸν Λυσίου τοῦ ῥήτορος ἀδελφὸν) οὔτε αὐτὸς ἰδίᾳ ἀδικούμενος, οὔτε εἰς τὴν πόλιν ὁρῶν ἐξαμαρτάνοντα, ἀλλὰ τῇ ἑαυτοῦ παρανομίᾳ προθύμως ἐξυπηρετῶν. — 236) Οἱ τὰ πολεμικὰ ἀσκοῦντες οὐχ ὡς μαχόμενοι μηδέποτε παύσωνται τοῦτ' ἐκπονοῦσι, ἀλλὰ νομίζοντες, τὰ πολεμικὰ ἀγαθοὶ γενόμενοι, πολὺν μὲν ὄλβον, πολλὴν δὲ εὐδαιμονίαν, μεγάλας δὲ τιμὰς καὶ αὑτοῖς καὶ τῇ πόλει περιάψειν. — 237) (Ἐὰν εὐδαίμονες εἶναι βούλησθε,) μάλιστα ἐπιθυμοῦντες διατελεῖτε τῆς ἀεὶ οὔσης καταστάσεως. — 238) Οἱ τύραννοι, ἐπει-

---

230) Thuc. II, 27. — 231) Plut. V. Phoc. c. 5. — 232) Xen. Cyr. VIII, 2, 7. — 233) Diodor. Sic. XIV, 13. — 234) Isocrat. Nicocl. p. 34.

235) Lysias c. Eratosth. p. 199. — 236) Xen. Cyr. I, 5, 9. — 237) Isocrat. VIII. Epist. ad Mil. Magist. p. 752. — 238) Xen. Hiero II, 9.

1) Die Vertreibung der Bewohner Aegina's durch die Athenäer fällt ins erste Jahr des pelop. Krieges. — „Thyrea": das Thyreatische Gebiet war das Gränzland zwischen Argolis und Laconien.

2) Polyeuctos ein Redner jener Zeit aus Sphettos, einem Demos von Attica.

δὰν εἰς τὴν ἑαυτῶν πόλιν ἀφίκωνται, τότε ἐν πλείστοις πολεμίοις ἴσασιν ὄντες. — 239) Οἱ Λακεδαιμόνιοι οὐκ ἔφθησαν πυθόμενοι (τὴν τῆς τῶν βαρβάρων στρατιᾶς ἀπόβασιν) καὶ τὸν περὶ τὴν Ἀττικὴν πόλεμον, καὶ πάντων τῶν ἄλλων ἀμελήσαντες ἧκον ἀμυνοῦντες, τοσαύτην ποιησάμενοι σπουδὴν, ὅσηνπερ ἂν τῆς ἑαυτῶν χώρας πορθουμένης· ἐν τρισὶ γὰρ ἡμέραις καὶ τοσαύταις νυξὶ διακόσια καὶ χίλια στάδια διελθόντες παρῆσαν. — 240) Τὸν Ἄμασιν εὐτυχῶν μεγάλως ὁ Πολυκράτης οὐκ ἐλάνθανεν. — 241) Ὁ νεὼς τῆς Ἥρας ἐν Ἄργει κατεκαύθη, Χρυσίδος τῆς ἱερείας λύχνον τινὰ θείσης ἡμμένον πρὸς τὰ στέμματα, καὶ ἐπικαταδαρθούσης· ὥστε ἔλαθεν ἀφθέντα πάντα καὶ καταφλεχθέντα.

Adverbien.

(Kl. griech. Gramm. §. 224. Gr. griech. Gramm. §. 298.)

Vorsteher, προστάτης, ου, ὁ.
Vorstellen, zu Gemüthe führen, νουθετεῖν.
Vortheil ziehen, ἀπολαύειν.
Vortheilhaft, χρήσιμος, ὁ, ἡ.
Vorwärtsgehen, προέρχεσθαι.
Vorwerfen, ὀνειδίζειν.
Vorzeichnen, προστάσσειν.
Vorziehen, αἱρεῖσθαι; αἱρεῖσθαι μᾶλλον; προτιμᾶν.
Vorzüglich, μάλιστα; ganz vorzüglich, οὐχ ἥκιστα; und zwar vorzüglich, καὶ μάλιστα δή oder γέ.

W.

Wache, φρουρά, ᾶς, ἡ.
Wachen, ἀγρυπνεῖν.
Wachsen, φύεσθαι. 2) augeri, αὐξάνεσθαι.
Wählen, αἱρεῖσθαι.
Waffe, ὅπλον, ου, τό.
Wagen, ἁρμάμαξα, ης, ἡ, (besonders ein bedeckter Reisewagen, in welchem die persischen Frauen gefahren wurden).
Wagen, verb. τολμᾷν.
Wagniß, κίνδυνος, ου, ὁ.
Wahr, ἀληθής, ὁ, ἡ.
Wahrheit, ἀλήθεια, ας, ἡ.
Walker, κναφεύς, έως, ὁ.
Wandelbar, ποικίλος, η, ον.
Wandelhaft, ἄστατος, ὁ, ἡ.
Warm, θερμός, ή, όν.
Warten, (auf), περιμένειν τι.
Warum, διὰ τί.
Waschen, sich, λοῦσθαι.
Wasser, ὕδωρ, ὕδατος, τό.
Weder . . . noch, οὔτε . . . οὔτε; μήτε . . . μήτε.
Weg, ὁδός, οῦ, ἡ. πορεία, ας, ἡ. auf dem W., κατὰ τὴν ὁδόν; aus dem W. schaffen, ἐκποδὼν ποιεῖσθαι.
Wegen, διά; ἕνεκα; ἐπί; ὑπό.
Weggehen, ἀποχωρεῖν.
Wegnehmen, (das was um etwas herum ist, die Einfassung, Mauer u. s. w.), περιελεῖν. 2) rapere, ἁρπάζειν.
Wegweiser, ὁδηγός, οῦ, ὁ.
Wehen, καταπνεῖν.
Weib, γυνή, γυναικός, ἡ.
Weiblich, θῆλυς, εια, υ.
Weichen, εἴκειν.
Weichlichkeit, μαλακία, ας, ἡ.
Weil, ὅτι; διότι; ἐπεί; διά c. Acc. c. Inf., z. B. wir lieben die Tugend, weil sie ein Gut ist, ἀγαπῶμεν τὴν ἀρετήν, διὰ τὸ ἀγαθὸν εἶναι.

Wein, οἶνος, ου, ὁ.
Weinen, κλαίειν.
Weise, σοφός, ή, όν.
Weisheit, σοφία, ας, ἡ.
Weiß, λευκός, ή, όν.
Weizen, πυρός, οῦ, ὁ.
Welcher, relat. ὅς, ἥ, ὅ. 2) interrog. (welcher von beyden), ὁπότερος, α, ον. 3) welch immer, was immer für, ὅστις, ἥτις, ὅ,τι.
Welt, κόσμος, ου, ὁ.
Weltbürger, κόσμιος, ου, ὁ.
Wenden, sich, τρέπεσθαι.
Wenig, ὀλίγος, η, ον.
Wenn, εἰ; ἐάν; ἤν. 2) tempor. (wann), ὅταν; ἐπειδάν.
Wer immer, ὁστισοῦν, ἡτισοῦν, ὁτιοῦν; ὅστις, ἥτις, ὅ,τι.
Werden, fieri, γίγνεσθαι. 2) evenire, συμβαίνειν.
Werfen, βάλλειν; ῥίπτειν.
Werk, ἔργον, ου, τό.
Werksmann, τεχνίτης, ου, ὁ.
Werth, ἄξιος, α, ον; τίμιος, α, ον. werth halten, τιμᾶν.
Werth, Subst. gleichen Werthes seyn, ἀντάξιος (ὁ, ἡ) εἶναι.
Wesen, οὐσία. lebendiges Wesen, ζῶον, ου, τό. menschliches Wesen, ἀνθρωπεῖον.
Wettkampf, ἀγών, ῶνος, ὁ.
Wichtig, κύριος, α, ον.
Widerrechtlich, παρὰ τὸ δίκαιον.
Widersetzen, sich, ἀντιτάσσεσθαι.
Widerstehen, ἀνθίστασθαι.
Widmen, sich, (hinzugehen), προσιέναι.
Wie, so wie, gleich wie, ὥσπερ. wie immer, ὅπως ἄν. wie, d. i. z. B., οἷον; viele weise Männer, wie Solon, Thales u. s. w., πολλοὶ τῶν σοφῶν ἀνδρῶν, οἷον Σ., Θ. — wie? πῶς; wie? wie doch? (interrog.) τί; wie daß, ὡς. wie also, πῶς οὖν; οὐκ οὖν; wie nicht? πῶς γὰρ οὔ;

Wieder, αὖθις; πάλιν. wiederum, αὖ πάλιν oder πάλιν αὖ.
Wiehern, χρεμετίζειν.
Wille, γνώμη, ης, ἡ. wider W., adv. ἀκουσίως.
Wind, ἄνεμος, ου, ὁ; πνεῦμα, τος, τό. guten W. haben, καλῷ πνεύματι χρῆσθαι.
Winter, χειμὼν, ῶνος, ὁ.
Wirklichkeit, ἀλήθεια, ας, ἡ.
Wissen, εἰδέναι; ἐπίστασθαι. nicht wissen, ἀγνοεῖν.
Wo, (relat.) οὗ.
Woher, ὅθεν; ὁπόθεν.
Wohl, εὖ.
Wohlfeil, εὐτελής, ὁ, ἡ.
Wohlgefallen haben an, χαίρειν τινί.
Wohlgestaltet, εὐειδής, ὁ, ἡ; εὐπρεπής, ὁ, ἡ.
Wohlhabend, πλούσιος, α, ον.
Wohlthat, εὐεργεσία, ας, ἡ. Wohlthaten erweisen, wohlthun, εὐεργετεῖν; εὖ ποιεῖν. W. genießen, εὐεργετεῖσθαι.
Wohlthäter, εὐεργέτης, ου, ὁ.
Wohlwollen, εὔνοια, ας, ἡ.
Wohnen, οἰκεῖν.
Wohnort, οἰκητήριον, ου, τό.
Wohnsitz, aus den Wohnsitzen Jemand vertreiben, ἀνάστατον (ἀνάστατος, ὁ, ἡ) ποιεῖν τινα.
Wolf, λύκος, ου, ὁ.
Wollen, ἐθέλειν; βούλεσθαι; μέλλειν; ἀξιοῦν.
Wort, λόγος, ου, ὁ.
Wünschen, ἐπιθυμεῖν.
Würdig, ἄξιος, α, ον.
Würdigen, würdig halten, ἀξιοῦν.
Würfel, ἀστράγαλος, ου, ὁ; κύβος, ου, ὁ.
Würze, ἄρτυμα, τος, τό.
Wundern, sich, θαυμάζειν.
Wunderbar, θαυμαστός, ή, όν.
Wunsch, εὐχή, ῆς, ἡ.
Wurfspieß, ἀκόντιον, ου, τό. den W. abschleudern nach, ἀκοντίζειν τινά.
Wurzel, ῥίζα, ης, ἡ.

X.

Xanthippus, Ξάνθιππος, ου, ὁ.
Xenocrates, Ξενοκράτης, ους, ὁ.

Xenophon, Ξενοφῶν, ῶντος, ὁ.
Xerxes, Ξέρξης, ου, ὁ.

Z.

Zahl, ἀριθμός, οῦ, ὁ.
Zahlen, τελεῖν.
Zaleucus, Ζάλευκος, ου, ὁ.
Zauberspruch, γοητεία, ας, ἡ.
Zehn, δέκα.
Zehntausend, μύριοι, αι, α.
Zehnte, δέκατος, η, ον.
Zeigen, δεικνύναι.
Zeit, χρόνος, ου, ὁ; καιρός, ου, ὁ. die Z. zubringen, καταβιοῦν. zur gehörigen Zeit, κατὰ καιρόν. zur Zeit ..., περί, c. Acc. wie zur Zeit des Trojanischen Krieges, περὶ τὰ Τρωϊκά.
Zeitig, εὔκαιρος, ὁ, ἡ.
Zeitpunkt, καιρός, οῦ, ὁ.
Zeno, Ζήνων, ωνος, ὁ.
Zerfallen, (mit Jemand), διαφέρεσθαί (τινι).
Zerreißen, διασπᾶν.
Zerstreuen, διασπείρειν.
Zeugniß, τεκμήριον, ου, τό.
Zeus, Ζεύς, Διός, ὁ. ja beym Zeus, νὴ Δία.
Zeuxis, Ζεῦξις, ιδος, ὁ.
Ziege, αἴξ, αἰγός, ἡ.
Ziegel, κέραμος, ου, ὁ.
Ziehen, (s. v. a. gehen), ἰέναι, πορεύεσθαι.
Ziel, σκοπός, οῦ, ὁ.
Zinspflichtig, ὑπόφορος, ὁ, ἡ.
Zollfreyheit, ἀτέλεια, ας, ἡ.
Zorn, ὀργή, ῆς, ἡ.
Zu, ἐπί; κατά; παρά; πρός.
Zubringen, διάγειν.
Zügellosigkeit, ἀκολασία, ας, ἡ.
Zürnen, ὀργίζεσθαι; ἐν ὀργῇ ἔχειν.
Zuerkennen, καταγιγνώσκειν.
Zuflucht, καταφυγή, ῆς, ἡ.
Zufolge, κατά, c. Acc.
Zufrieden seyn, ἀρέσκεσθαι, c. Dat.
Zufügen, ποιεῖν; δρᾶν.
Zufuhr, σῖτος, ου, ὁ.
Zug, πορεία, ας, ἡ.

Zugeben, (gestehen), ὁμολογεῖν. 2) (gestatten), συγχωρεῖν.
Zugegen seyn, παρεῖναι.
Zugenannt, s. Beygenannt.
Zugleich, ἅμα.
Zukommen, προςήκειν.
Zulassen, (zu etwas), μεταδιδόναι.
Zunge, γλῶσσα, ης, ἡ.
Zur, ἐπί. zur Rettung, zur Unterwerfung, ἐπὶ σωτηρίᾳ, ἐπὶ καταστροφῇ.
Zurechtweisen, νουθετεῖν.
Zureden, παρακαλεῖν.
Zurückbehalten, κατέχειν.
Zurückbleiben, ἐγκαταλείπεσθαι; ὑπολείπεσθαι. hinter Jemand, λείπεσθαι.
Zurückgeben, ἀποδιδόναι.
Zurückgehen, ἐπανιέναι.
Zurückkehren, νοστεῖν; ἀπονοστεῖν; ἐπανέρχεσθαι; ἀναχωρεῖν.
Zurücklassen, ἀπολείπειν; ἐναπολείπειν; ὑπολείπεσθαι.
Zurücktreiben, ἀπωθεῖσθαι.
Zurückziehen, sich, ἀναχωρεῖν.
Zurufen, εἰπεῖν.
Zusammenbringen, συλλέγειν.
Zusammenfallen, καταπίπτειν.
Zusammenfügen, συμπηγνύναι.
Zusammenführen, συνάγειν.
Zusammenrufen, συγκαλεῖν.
Zusammensinken, κατολισθαίνειν.
Zuschauen, θεᾶσθαι.
Zuspinnen, ἐπινεῖν.
Zustand, κατάστασις, εως, ἡ.
Zutheilen, νέμειν.
Zuverlässig, πιστός, ή, όν.
Zuvorkommen, φθάνειν.
Zuwachs, αὔξησις, εως, ἡ.
Zwanzig, εἴκοσι.
Zwanzigste, εἰκοστός, ή, όν.
Zwey, δύο, δυοῖν.
Zweymal, δίς. zum 2tenmal, δεύτερον.
Zweyte, δεύτερος, α, ον.
Zwingen, ἀναγκάζειν; βιάζεσθαι.
Zwischen, μεταξύ.
Zwist, διαφορά, ᾶς, ἡ.

6.

Vermischte Beyspiele

zur

Uebung im Uebersetzen aus dem Griechischen in das Deutsche.

Erster Abschnitt.

Aus der siebenten moralischen Abhandlung des Stobäus.

1. Lakonische Antwort.

Λεωνίδης, ἀκούσας ἐπισκιάζεσθαι τὸν ἥλιον τοῖς Περσῶν τοξεύμασιν, Χάριεν, ἔφη, ὅτι καὶ ὑπὸ σκιᾷ μαχούμεθα.

2. Rath des Diogenes.

Ὁρῶν Μεγαρέας ὁ Διογένης τὰ μακρὰ τείχη ἱστάντας [1]), Ὦ μοχθηροὶ (εἶπε), μὴ τοῦ μεγέθους προνοεῖτε τῶν τειχῶν, ἀλλὰ τῶν ἐπ᾽ αὐτῶν στησομένων [1]).

3. Lakonische Gesinnung.

Ἆγις ὁ βασιλεὺς ἔφη, τοὺς Λακεδαιμονίους μὴ ἐρωτᾶν, ὁπόσοι εἰσὶν, ἀλλὰ ποῦ εἰσι οἱ πολέμιοι· καὶ ἐρωτῶντός τινος, πόσοι εἰσὶ Λακεδαιμόνιοι, ἔφη· Ἱκανοὶ τοὺς κακοὺς ἀπερύκειν.

4. Standhaftigkeit des Xenophon.

Ξενοφῶντι ἐν Σκιλλοῦντι ἐστεφανωμένῳ καὶ θύοντι ἀπήγγειλέ τις, Γρύλλον τὸν υἱὸν περὶ Μαντίνειαν πολεμοῦντα ἀνῃρῆσθαι [2]). ὁ δὲ ἀποθέμενος [3]) τὸν στέφανον εἴρετο [4]), ὅπως ἀγωνιζόμενος τελευτήσειε [5]). τοῦ δὲ εἰπόντος, Ἄριστα, ἐπιθέμενος [6]) τὸν στέφανον πάλιν ἔθυεν.

---

1) ἵστημι. Ueber das Partic. ἱστάντας u. ὁρῶν s. m. kl. gr. Gr. §. 223. gr. gr. Gr. §. 297. — 2) ἀναιρέω, ῶ. — 3) ἀποτίθεμαι — 4) ἔρομαι. — 5) Ueber den Opt. s. m. kl. gr. Gr. §. 250. 4 gr. gr. Gr. §. 333. 4. — 6) ἐπιτίθεμαι.

5. Alexander in Ilium.

Ἐν Ἰλίῳ θύοντι Ἀλεξάνδρῳ ἔφη ὁ ἱερεὺς δείξειν [7]) τὴν Πάριδος λύραν. ὁ δὲ Τὴν Ἀχιλλέως (εἶπεν) εἰ ἔχεις, δεῖξον [7]), καὶ πρό γε τῆς λύρας τὴν μελίαν.

6. Tod des Kleanthes.

Κλεάνθης, ὑπὸ γλώττῃ ἕλκους αὐτῷ γενομένου [8]), τὴν τροφὴν οὐκ ἐδύνατο [9]) παραπέμπειν. ὡς δὲ ῥᾷον ἔσχε [10]), καὶ ὁ ἰατρὸς αὐτῷ τροφὴν προσήγαγεν [11]), Σὺ δέ με, ἔφη, βούλει ἤδη τὸ πλέον τῆς ὁδοῦ κατανύσαντα ἀναστρέφειν, εἶτα πάλιν ἐξ ὑπαρχῆς τὴν αὐτὴν ἔρχεσθαι; καὶ ἐξῆλθε [12]) τοῦ βίου.

7. Sokrates und der Redner.

Σωκράτους φεύγοντος τὴν δίκην, Λυσίας λόγον τινὰ συγγράψας ἦλθεν [13]) αὐτῷ κομίζων, καὶ ἐκέλευε χρήσασθαι. τοῦ δὲ Λυσίου εἰπόντος, καὶ μὴν κάλλιστον αὐτὸν εἶναι, καὶ τὰ ῥόδα ἔφη κάλλιστα εἶναι, ἀλλ' οὐ πρέπειν αὐτῷ τὸ στεφάνωμα. Τεθνήξῃ [14]) τοίνυν, ἔφη ὁ Λυσίας, εἰ μὴ οὕτως ἀπολογήσῃ. ὁ δέ, Εἰ γάρ, ἔφη, καὶ μὴ νῦν, πάντως τεθνήξομαι [14]).

8. Lakonische Gesinnung.

Φίλιππος ἦλθεν ἐπὶ Λακεδαίμονα, καὶ προστρατοπεδεύσας, ἔπεμψεν ἀπειλῶν πολλὰ καὶ χαλεπά, εἰ μὴ ποιοῦσι τὰ προστασσόμενα. τῶν δὲ Λακεδαιμονίων τὶς, ἀκούσας τῶν ἀπειλῶν, χάριν αὐτῷ (ἔφη) εἰδέναι, ὅτι οὐ κωλύει, ὃ ἐπὶ τοῖς μαχομένοις ἐστὶν, ἀποθανεῖν [15]).

9. Desgleichen.

Πύῤῥου ἐπιστρατεύσαντος Λακεδαιμονίοις καὶ πολλὰ ἀπειλοῦντος, Δερκυλλίδας, εἷς τῶν γερόντων, ἀναστὰς [16]) ἐν τῇ ἐκκλησίᾳ, εἶπεν· Εἰ μὲν θεός ἐστιν ὁ

7) δείκνυμι. — 8) γίνομαι. — 9) δύναμαι. — 10) ἔχω. — 11) προσάγω. — 12) ἐξέρχομαι. — 13) ἔρχομαι. — 14) θνήσκω. 15) ἀποθνήσκω. — 16) ἀνίστημι.

ἀπειλῶν, μὴ φοβώμεθα, οὐδὲν γὰρ ἀδικεῖ· εἰ δ' ἄνθρωπος, γνώτω [17]) *ἀνδράσιν ἀπειλῶν.*

10. Wie Philippus ein Auge verloren.

Φίλιππος ὁ τῶν Μακεδόνων βασιλεὺς, δύο καὶ τριάκοντα Χαλκιδικὰς πόλεις τοῖς ἰδίοις ὑποτάξας σκήπτροις, Μεθωναίους καὶ Ὀλυνθίους λεηλατεῖν ἤρξατο. γενόμενος δὲ κατὰ γέφυραν ποταμοῦ Σάρδωνος, καὶ εἰς τὸ πέραν διαβῆναι [18]) *βιαζόμενος, ὑπὸ τοῦ πλήθους τῶν Ὀλυνθίων ἐπεσχέθη* [19]). *τοξότης δέ τις, Ἀστὴρ τοὔνομα, τόξον ἐντείνας ἐτύφλωσε τὸν Φίλιππου, εἰπών· Ἀστὴρ Φιλίππῳ θανάσιμον πέμπει βέλος. ἀποβαλὼν* [20]) *δὲ ὁ βασιλεὺς τὸν ὀφθαλμὸν εἰς τὸν ποταμὸν ἑαυτὸν ἔῤῥιψε, καὶ πρὸς τοὺς οἰκείους διανηξάμενος, τὸν κίνδυνον ἐξέφυγε.*

Zweyter Abschnitt.

Aus des Aelianus verschiedenen Geschichten. *)

---

1. Phokion.

1. *Φωκίων παρελθών* [1]) *ποτε εἰς τοὺς Ἀθηναίους, ἐκκλησίας οὔσης, ἐπεί τι αὐτοῖς ἐμέμφετο ἀγνωμονοῦσι, πάνυ σφόδρα πεπαιδευμένως καὶ πληκτικῶς εἶπε· Βούλομαι μᾶλλόν τι ὑφ' ὑμῶν παθεῖν* [2]) *κακὸν αὐτὸς, ἢ αὐτός τι ὑμᾶς κακῶς δρᾶσαι.*

2. *Προείλοντο* [3]) *τοῦ Φωκίωνος Ἀθηναῖοι τὸν Δημάδην στρατηγεῖν. Ὁ δὲ, προτιμηθεὶς καὶ μέγα φρο-*

---

17) *γιγνώσκω.* — 18) *διαβαίνω.* — 19) *ἐπέχω.* — 20) *ἀποβάλλω.*

*) 1) 2. B. 16. K. — 14, 10. — 2, 35. — 2) 2 B. 35. — 3) 2, 44. — 4) 3, 1. — 5) 4, 9. — 6) 4, 18. — 7) 5, 6. — 8) 12, 15. — 9) 13, 31. — 10) 14, 7.

1) *παρέρχομαι.* — 2) *πάσχω.* — 3) *προαιρέομαι (οῦμαι).*

νῶν, προςελθὼν [4]) τῷ Φωκίωνι, Χρῆσόν μοι, ἔφη, τὴν ῥυπαρὰν χλαμύδα, ἣν εἰώθεις [5]) φορεῖν παρὰ τὴν στρατηγίαν. Καὶ ὃς [6]), Οὐδέποτε, εἶπεν, οὐδενὸς ῥυπαροῦ σὺ ἀπορήσεις, ἔς τ' ἂν [6*]) ᾖς τοιοῦτος.

3. Φωκίων ὁ τοῦ Φώκου, πολλάκις στρατηγήσας, κατεγνώσθη [7]) θανάτῳ, καὶ ἦν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἔμελλε πιεῖσθαι [7*]) τὸ κώνειον. Ἐπεὶ δὲ ὤρεξεν ὁ δήμιος τὴν κύλικα, οἱ προσήκοντες ἤροντο [8]), εἴτι λέγοι πρὸς τὸν υἱόν. Ὁ δέ, Ἐπισκήπτω αὐτῷ μηδὲν Ἀθηναίοις μνησικακεῖν ὑπὲρ τῆς παρ' αὐτῶν φιλοτησίας, ἣν νῦν πίνω.

2. Gorgias Ausspruch über den Tod.

Γοργίας ὁ Λεοντῖνος ἐπὶ τέρματι ὢν τοῦ βίου, καὶ γεγηρακὼς εὖ μάλα, ὑπό τινος ἀσθενείας καταληφθεὶς [9]), κατ' ὀλίγον εἰς ὕπνον ὑπολισθαίνων ἔκειτο. Ἐπεὶ δέ τις αὐτὸν παρῆλθε τῶν ἐπιτηδείων ἐπισκοπούμενος, καὶ ἤρετο, τί πράττοι, ὁ Γοργίας ἔφη, Ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι [10]) τῷ ἀδελφῷ.

3. Darstellung der Tapferkeit.

Θέωνος τοῦ ζωγράφου πολλὰ μὲν καὶ ἄλλα ὁμολογεῖ [11]) τὴν χειρουργίαν ἀγαθὴν οὖσαν, ἀτὰρ οὖν καὶ τόδε τὸ γράμμα. Ὁπλίτης ἐστὶν ἐκβοηθῶν, ἄφνω τῶν πολεμίων εἰςβαλλόντων [12]) καὶ δῃούντων ἅμα καὶ κειρόντων τὴν γῆν. Ἐναργῶς δὲ καὶ πάνυ ἐκθύμως ὁ νεανίας ἔοικεν [13]) ὁρμῶντι εἰς τὴν μάχην. Καὶ εἶπες ἂν [13*]) αὐτὸν ἐνθουσιᾷν, ὥσπερ ἐξ Ἄρεος μανέντα. Γοργὸν μὲν αὐτῷ βλέπουσιν οἱ ὀφθαλμοί· τὰ

---

4) προςέρχομαι. — 5) εἴωθα. — 6) καὶ ὃς st. καὶ οὗτος. Kl. Gr. §. 208. n. 13. Gr. Gr. §. 284. n. 14. — 6*) ἔς τ' ἄν. ἔς τε als relative Partikel soviel als ἕως, bis, mit ἄν u. dem Conj. Kl. Gramm. §. 254. n. 5. Gr. Gr. §. 346. n. 9. und n. 12. — 7) καταγιγνώσκω. — 7*) πίνω. — 8) ἔραμαι. — 9) καταλαμβάνω. — 10) παρακατατίθεμαι. — 11) Ueber den Sing. des Verbums n. d. Neutr. Plur. s. m. kl. gr. Gr. §. 232. 5. c. gr. gr. Gr. §. 307. 6. d. — 12) εἰςβάλλω. — 13) εἴκω. — 13*) εἶπες ἄν du würdest ge=

δὲ ὅπλα ἁρπάσας, ἔοικεν, ᾗ ποδῶν ἔχει [14]), ἐπὶ τοὺς πολεμίους ᾄττειν. Προβάλλεται [15]) δὲ ἐντεῦθεν ἤδη τὴν ἀσπίδα, καὶ γυμνὸν ἐπισείει τὸ ξίφος, φονῶντι ἐοικὼς, καὶ σφάττειν βλέπων, καὶ ἀπειλῶν δι' ὅλου τοῦ σχήματος, ὅτι μηδενὸς φείσεται. Καὶ πλέον οὐδὲν περιείργασται τῷ Θέωνι, οὐ λοχίτης, οὐ ταξίαρχος, οὐ λόχος, οὐχ ἱππεὺς, οὐ τοξότης· ἀλλ' ἀπέχρησέν οἱ καὶ ὁ εἷς ὁπλίτης οὗτος πληρῶσαι τὴν τῆς εἰκόνος ἀπαίτησιν. Οὐ πρότερόν γε μὴν ὁ τεχνίτης ἐξεκάλυψε τὴν γραφὴν, οὐδὲ ἔδειξε τοῖς ἐπὶ θέαν συνειλεγμένοις, πρὶν ἢ σαλπιγκτὴν παρεστήσατο [16]), καὶ προσέταξεν αὐτῷ τὸ παρορμητικὸν ἐμπνεῦσαι [17]) μέλος, διάτορόν τε καὶ γεγωνὸς ὅτι μάλιστα καὶ οἷον εἰς τὴν μάχην ἐγερτήριον. Ἅμα τε οὖν τὸ μέλος ἠκούετο τραχὺ, καὶ φοβερὸν, καὶ οἷον εἰς ὁπλιτῶν ἔξοδον ταχέως ἐκβοηθούντων μελῳδούσῃ σάλπιγγι, καὶ ἐδείκνυτο ἡ γραφὴ, καὶ ὁ στρατιώτης ἐβλέπετο, τοῦ μέλους ἐναργεστέραν τὴν φαντασίαν τοῦ ἐκβοηθοῦντος ἔτι καὶ μᾶλλον παραστήσαντος [16]).

4. Beschreibung von Tempe.

Φέρε οὖν καὶ τὰ καλούμενα Τέμπη τὰ Θετταλικὰ διαγράψωμεν [18]) τῷ λόγῳ καὶ διαπλάσωμεν. Ὡμολόγηται γὰρ καὶ ὁ λόγος, ἐὰν ἔχῃ [18*]) δύναμιν φραστικὴν, μηδὲν ἀσθενέστερον, ὅσα βούλεται, δεικνύναι τῶν ἀνδρῶν τῶν κατὰ χειρουργίαν δεινῶν. Ἔστι δὴ χῶρος μεταξὺ κείμενος τοῦ τε Ὀλύμπου, καὶ τῆς Ὄσσης. Ὄρη δὲ ταῦτ' ἐστὶν ὑπερύψηλα, καὶ οἷον ὑπό τινος θείας φροντίδος διεσχισμένα, καὶ μέσον δέχεται χωρίον, οὗ τὸ μὲν μῆκος ἐπὶ τεσσαράκοντα διήκει σταδίους, τό γε μὴν πλάτος, τῇ μέν ἐστι πλέθρου,

---

sagt haben, wenn du nemlich ihn gesehn. Kl. Gr. 247. n. 4. ff. Gr. Gr. §. 334. n. 5. ff. — 14) m. s. kl. gr. Gr. §. 181, 3. gr. gr. Gr. §. 254, 3. — 15) προβάλλομαι. — 16) παρίστημι. — 17) ἐμπνέω. — 18) Ueber den Conj. der Aufforderung s. m. kl. gr. Gr. §. 220. 2. gr. gr. Gr. §. 294. 2. — 18*) ἐὰν ἔχῃ kl. Gr. §. 243. n. 4. gr. Gr. §. 329. 2. c. d. 3.

τῇ δὲ καὶ πλεῖον ὀλίγῳ. Διαῤῥεῖ δὲ μέσου αὐτοῦ ὁ καλούμενος Πηνειός· εἰς τοῦτον δὲ καὶ οἱ λοιποὶ ποταμοὶ συῤῥέουσι, καὶ ἀνακοινοῦνται τὸ ὕδωρ αὐτῷ, καὶ ἐργάζονται τὸν Πηνειὸν ἐκεῖνοι μέγαν. Διατριβὰς δ' ἔχει ποικίλας καὶ παντοδαπὰς ὁ τόπος οὗτος, οὐκ ἀνθρωπίνης χειρὸς ἔργα, ἀλλὰ φύσεως αὐτόματα, εἰς κάλλος τότε φιλοτιμησαμένης, ὅτε ἐλάμβανε γένεσιν ὁ χῶρος. Κιττὸς μὲν γὰρ πολὺς, καὶ εὖ μάλα λάσιος ἐνακμάζει, καὶ τέθηλε, καὶ δίκην τῶν εὐγενῶν ἀμπέλων κατὰ τῶν ὑψηλῶν δένδρων ἀνέρπει, καὶ συμπέφυκεν αὐτοῖς· πολλὴ δὲ σμίλαξ, τῇδε μὲν πρὸς αὐτὸν τὸν πάγον ἀνατρέχει καὶ ἐπισκιάζει τὴν πέτραν, καὶ ἐκείνη ὑπολανθάνει· ὁρᾶται δὲ τὸ χλοάζον πᾶν, καὶ ἔστιν ὀφθαλμῶν πανήγυρις. Ἐν αὐτοῖς δὲ τοῖς λείοις καὶ καθειμένοις ἄλση τέ ἐστι ποικίλα, καὶ ὑποδρομαὶ συνεχεῖς, ἐν ὥρᾳ θέρους καταφυγεῖν ὁδοιπόροις ἥδιστα καταγώγια, ἃ καὶ δίδωσιν ἀσμένως ψυχᾶσθαι. διαῤῥέουσι δὲ καὶ κρῆναι συχναὶ, καὶ ἐπιῤῥεῖ νάματα ὑδάτων ψυχρῶν, καὶ πιεῖν [19]) ἡδίστων. Λέγεται δὲ τὰ ὕδατα ταῦτα καὶ τοῖς λουσαμένοις ἀγαθὸν εἶναι, καὶ εἰς ὑγίειαν αὐτοῖς συμβάλλεσθαι. Κατᾴδουσι δὲ καὶ ὄρνιθες ἄλλος ἄλλῃ διεσπαρμένοι, καὶ μάλιστα οἱ μουσικοὶ, καὶ ἑστιῶσιν εὖ μάλα τὰς ἀκοάς, καὶ παραπέμπουσιν ἀπόνως, καὶ σὺν ἡδονῇ, διὰ τοῦ μέλους τὸν κάματον τῶν παριόντων [20]) ἀφανίσαντες. Παρ' ἑκάτερα δὲ τοῦ ποταμοῦ αἱ διατριβαί εἰσιν αἱ προειρημέναι καὶ αἱ ἀνάπαυλαι. Διὰ μέσων δὲ τῶν Τεμπῶν ὁ Πηνειὸς ποταμὸς ἔρχεται σχολῇ καὶ πρᾴως, προϊὼν [21]) ἐλαίου δίκην. Πολλὴ δὲ κατ' αὐτοῦ ἡ σκιὰ ἐκ τῶν παραπεφυκότων δένδρων, καὶ τῶν ἐξηρτημένων κλάδων τίκτεται, ὡς ἐπὶ πλεῖστον τῆς ἡμέρας αὐτὴν προήκουσαν ἀποστέγειν τὴν ἀκτῖνα, καὶ παρέχειν τοῖς πλέουσι πλεῖν κατὰ ψύχος. Πᾶς δὲ ὁ περίοικος λεὼς συνίασιν [22]), ἄλλοι σὺν ἄλλοις, καὶ θύουσι,

19) πίνω. — 20) πάρειμι (παριέναι). — 21) πρόειμι. — 22) Ueber den Plur. des Verb. nach Collectiv. s. m. kl. gr. Gr. §. 232. 5. a. gr. gr. Gr. §. 307. 6. a.

καὶ συνουσίας ποιοῦνται, καὶ συμπίνουσιν. Ἅτε οὖν πολλῶν ὄντων τῶν θυόντων, καὶ τῶν καθαγιζομένων συνεχῶς, εἰκότως καὶ τοῖς βαδίζουσι καὶ τοῖς πλέουσιν ὀσμαὶ συμπαρομαρτοῦσιν ἥδισται. Οὕτως ἄρα ἡ τιμὴ ἡ διαρκὴς ἡ περὶ τὸ θεῖον ἐκθεοῖ τὸν τόπον.

5. Plato und die Fremdlinge.

Πλάτων ὁ Ἀρίστωνος ἐν Ὀλυμπίᾳ συνεσκήνωσεν ἀγνῶσιν ἀνθρώποις, καὶ αὐτὸς ὢν αὐτοῖς ἀγνώς. Οὕτω δὲ αὐτοὺς ἐχειρώσατο, καὶ ἀνεδήσατο τῇ συνουσίᾳ, συνεστιώμενός τε αὐτοῖς ἀφελῶς, καὶ συνδιημερεύων ἐν πᾶσιν, ὥςθ᾽ ὑπερησθῆναι [23]) τοὺς ξένους τῇ τοῦ ἀνδρὸς συντυχίᾳ. Οὔτε δὲ Ἀκαδημίας ἐμέμνητο [23*]), οὔτε Σωκράτους· αὐτό γε μὴν τοῦτο ἐνεφάνισεν αὐτοῖς, ὅτι καλεῖται Πλάτων. Ἐπεὶ δὲ ἦλθον εἰς τὰς Ἀθήνας, ὑπεδέξατο αὐτοὺς εὖ μάλα φιλοφρόνως. Καὶ οἱ ξένοι, Ἄγε, εἶπον, ὦ Πλάτων, ἐπίδειξον [24]) ἡμῖν καὶ τὸν ὁμώνυμόν σου, τὸν Σωκράτους ὁμιλητὴν, καὶ ἐπὶ τὴν Ἀκαδημίαν ἥγησαι τὴν ἐκείνου, καὶ ἐπισύστησον τῷ ἀνδρὶ, ἵνα τι καὶ αὐτοῦ ἀπολαύσωμεν [25]). Ὁ δὲ, ἠρέμα ὑπομειδιάσας, ὥσπερ οὖν καὶ εἰώθει, Ἀλλ᾽ ἐγὼ, φησὶν, αὐτὸς ἐκεῖνός εἰμι. Οἱ δὲ ἐξεπλάγησαν, εἰ τὸν [25*]) ἄνδρα ἔχοντες μεθ᾽ ἑαυτῶν τὸν τοσοῦτον ἠγνόησαν, ἀτύφως αὐτοῦ συγγενομένου καὶ ἀνεπιτηδεύτως αὐτοῖς, καὶ δείξαντος, ὅτι δύναται καὶ ἄνευ τῶν συνήθων λόγων χειροῦσθαι τοὺς συνόντας.

6. Plato bey Dionysius.

Κατῆλθε [26]) Πλάτων ἐς Σικελίαν κλητὸς, πολλὰ ἐπὶ πολλοῖς ἐπιστείλαντος [27]) τοῦ Διονυσίου, καὶ ἀνήγα-

---

23) ὥσθ᾽ ὑπερησθῆναι kl. Gr. §. 255. 6. d. gr. Gr. §. 348. 6. d. 23*) μιμνήσκω. — 24) ἐπιδείκνυμι. — 25) Ueber den Conj. bey ἵνα nach vorhergegangenen Präter. s. m. kl. gr. Gr. §. 251. gr. gr. Gr. §. 339. u. 340. 2. — 25*) εἰ τὸν ἄνδρα, wenn sie den Mann, wo man daß sie den Mann u. s. erwartet. Man muß sich ihre Verwunderung in Worte übersetzen: Es ist ja erstaunlich, wenn wir so lange mit dem Plato zusammen gewesen sind, ohne ihn zu kennen. — 26) κατέρχομαι. — 27) Aehnlich Plutarch. V. De-

γεν [28]) αὐτὸν ἐπὶ τὸ ἅρμα ὁ νέος Διονύσιος, αὐτὸς μὲν ἡνιοχῶν, παραιβάτην δὲ ποιησάμενος τὸν Ἀρίστωνος. Τότε δή φασι Συρακούσιον ἄνδρα, χαρίεντα, καὶ τῶν Ὁμήρου μὴ ἀπαίδευτον [29]), ἡσθέντα τῇ ὄψει ταύτῃ, ἐπειπεῖν τὰ ἐξ Ἰλιάδος ἐκεῖνα, παρατρέψαντα ὀλίγον· (Ἰλ. ε, 839.)

. . . . Μέγα δ᾽ ἔβραχε φήγινος ἄξων
Βριθοσύνῃ· δεινὸν γὰρ ἄγει βροτὸν, ἄνδρα τ᾽ ἄριστον.

7. Armuth des Epaminondas.

Ἐπαμινώνδας ἕνα εἶχε [30]) τρίβωνα, καὶ αὐτὸν ῥυπῶντα· εἴ ποτε δὲ αὐτὸν ἔδωκεν [31]) εἰς γναφεῖον, αὐτὸς ὑπέμενεν οἴκοι δι᾽ ἀπορίαν ἑτέρου. Ἐν δὴ τούτοις τῆς περιουσίας ὢν, τοῦ Περσῶν βασιλέως πέμψαντος αὐτῷ πολὺ χρυσίον, οὐ προσήκατο [32])· καὶ εἴ τι ἐγὼ νοῶ, μεγαλοφρονέστερος ἦν τοῦ διδόντος [31]) ὁ μὴ λαβών [33]).

8. Spiele ernsthafter Männer.

Τὸν Ἡρακλῆ λέγουσι τὰς ἐν τοῖς ἄθλοις σπουδὰς διαναπαύειν ταῖς παιδιαῖς. Ἔπαιζε δὲ ἄρα ὁ Διὸς καὶ Ἀλκμήνης μετὰ παιδίων πάνυ σφόδρα. Τοῦτό τοι καὶ ὁ Εὐριπίδης ἡμῖν ὑπαινίττεται, ποιήσας τὸν αὐτὸν τοῦτον θεὸν λέγοντα·

Παίζω· μεταβολὰς γὰρ πόνων ἀεὶ φιλῶ.

λέγει δὲ τοῦτο, παιδίον κατέχων. Καὶ Σωκράτης δὲ κατελήφθη [34]) ποτὲ ὑπὸ Ἀλκιβιάδου παίζων μετὰ Λαμπροκλέους, ἔτι νηπίου. Ἀγησίλαος δὲ, κάλαμον περιβὰς [35]), ἵππευε μετὰ τοῦ υἱοῦ, παιδὸς ὄντος· καὶ πρὸς τὸν γελάσαντα εἶπε, Νῦν μὲν σιώπα, ὅταν δὲ

---

metr. cap. 17. ἄλλους ἔπεμπεν ἐπ᾽ ἄλλοις ὑπηρέτας καὶ φίλους. — 28) ἀνάγω. — 29) Ueber den Genitiv τῶν Ὁμ. regiert von ἀπαίδευτον s. m. kl. gr. Gr. §. 178. 1. b. gr. gr. Gr. §. 251. 3. a. — 30) ἔχω. — 31) δίδωμι. — 32) προσίεμαι (προσίημι). — 33) λαμβάνω. Ueber die negat. Partikel vor den Particip. s. m. kl. gr. Gr. §. 226. 7. gr. gr. Gr. §. 300. 7. — 34) καταλαμβάνω. — 35) περιβαίνω.

γένη [36]) πατὴρ αὐτὸς, τότε ἐξαγορεύσεις πρὸς τοὺς πατέρας. Ἀλλὰ καὶ Ἀρχύτας ὁ Ταραντῖνος, πολιτικός τε καὶ φιλόσοφος ἀνὴρ γενόμενος [36]), πολλοὺς ἔχων οἰκέτας, τοῖς αὐτῶν παιδίοις πάνυ σφόδρα ἐτέρπετο, μετὰ τῶν οἰκοτρίβων παίζων· μάλιστα δὲ ἐφίλει τέρπεσθαι αὐτοῖς ἐν τοῖς συμποσίοις.

9. Xenokrates und der Sperling.

Ξενοκράτης ὁ Χαλκηδόνιος, ὁ ἑταῖρος Πλάτωνος, τά τε ἄλλα ἦν φιλοικτίρμων, καὶ οὐ μόνον φιλάνθρωπος, ἀλλὰ καὶ πολλὰ τῶν ἀλόγων ζώων ἠλέει. Καὶ οὖν ποτε καθημένου [37]) ἐν ὑπαίθρῳ, διωκόμενος βιαίως στρουθὸς ὑπὸ ἱέρακος, εἰς τοὺς κόλπους αὐτοῦ κατέπτη [38]). Ὁ δὲ ἀσμένως ἐδέξατο τὸν ὄρνιν, καὶ διεφύλαξεν ἀποκρύψας, ἕως ὁ διώκων ἀπῆλθεν [39]). Ἐπεὶ δὲ ἠλευθέρωσεν αὐτὸν τοῦ φόβου, ἁπλώσας τὸν κόλπον, ἀφῆκε [40]) τὸν ὄρνιν, ἐπειπὼν, Ὅτι μὴ ἐξέδωκε [41]) τὸν ἱκέτην.

10. Lakonische Gesetze.

Λακεδαιμόνιος οὗτος ὁ νόμος. Μηδένα Λακεδαιμονίων ἀνανδρότερον ὁρᾶσθαι, τὴν χρόαν [42]) ἢ τὸν ὄγκον τοῦ σώματος ἔχειν ὑπὲρ τὰ γυμνάσια· ἐδόκει γὰρ τὸ μὲν ἀργίαν ὁμολογεῖν, τὸ δὲ οὐχ ὁμολογεῖν ἄνδρα [43]). Προσεγέγραπτο δὲ τῷ νόμῳ, καὶ διὰ δέκα ἡμερῶν πάντως τοῖς Ἐφόροις τοὺς ἐφήβους παρίστασθαι [44]) γυμνοὺς δημοσίᾳ. Καὶ εἰ μὲν ἦσαν εὐπαγεῖς, καὶ ἐῤῥωμένοι, καὶ ἐκ τῶν γυμνασίων οἱονεὶ διαγλυφέντες, καὶ διατορευθέντες, ἐπῃνοῦντο· εἰ δέ τι χαῦνον ἦν αὐτοῖς τῶν μελῶν ἢ ὑγρότερον, ὑποιδούσης καὶ

---

36) *γίγνομαι.* — Ueber den Conj. nach *ὅταν* s. kl. Gr. §. 242. 7. gr. Gr. §. 321. 6. — 37) *κάθημαι.* — 38) *καταπέτομαι.* — 39) *ἀπέρχομαι.* — 40) *ἀφίημι.* — 41) *ἐκδίδωμι.* — 42) Ueber den Accus. *τὴν χρόαν* s. m. kl. gr. Gr. §. 193. 5. gr. gr. Gr. §. 266. 3. 43) *Τὸ μὲν ... τὸ δέ.* Man bemerke, daß hier gegen die gewöhnliche Construction *τὸ δὲ* auf das entferntere, *τὸ μὲν* auf das nähere bezogen werde. — 44) *παρίσταμαι.*

ὑπαναφυομένης διὰ τὴν ῥαθυμίαν πιμελῆς, ἐνταῦθα μὲν ἐπαίοντο καὶ ἐδικαιοῦντο. Ἐτίθεντο [45]) δὲ καὶ φροντίδα οἱ Ἔφοροι καθ' ἑκάστην πολυπραγμονεῖν τὰ περὶ τὴν στολὴν, εἰ ἕκαστα αὐτῆς μὴ ἀπολείπεται τοῦ κόσμου τοῦ δέοντος. Ἔδει δὲ ὀψοποιοὺς ἐν Λακεδαίμονι εἶναι κρέως μόνου· ὁ δὲ παρὰ τοῦτο ἐπιστάμενος [46]) ἐξηλαύνετο τῆς Σπάρτης, ὡς τὰ τῶν νοσούντων καθάρσια. — Οἱ αὐτοὶ Ναυκλείδην τὸν Πολυβιάδου, ὑπερσαρκοῦντα τῷ σώματι, καὶ ὑπέρπαχυν διὰ τρυφὴν γενόμενον, ἐκ τῆς ἐκκλησίας τῶν θεωμένων κατήγαγον [47]), καὶ ἠπείλησαν αὐτῷ φυγῆς προστίμησιν, ἐὰν μὴ τὸν βίον, ὃν ἐβίου [48]) τότε, ὑπαίτιον ὄντα, καὶ Ἰωνικὸν μᾶλλον, ἢ Λακωνικὸν, τοῦ λοιποῦ μεθαρμόσηται· φέρειν γὰρ αὐτοῦ τὸ εἶδος καὶ τὴν τοῦ σώματος διάθεσιν αἰσχύνην καὶ τῇ Λακεδαίμονι καὶ τοῖς νόμοις.

Dritter Abschnitt.

Aus des Plutarchus moralischen Abhandlungen *).

---

1. Plato und Dionysius.

Πλάτων ἐν ταῖς πρὸς Διονύσιον ὑποψίαις καὶ διαφοραῖς ᾐτήσατο καιρὸν ἐντυχίας· εἶτα ὁ μὲν ἔδωκεν [1]), οἰόμενος ὑπὲρ αὑτοῦ τὶ μέμψασθαι τὸν Πλάτωνα καὶ διελθεῖν [2])· ὁ δὲ Πλάτων οὕτω πως διελέχθη πρὸς αὐτόν· Εἴ τινα αἴσθοιο [3]), Διονύσιε, δυσμενῆ

---

45) τίθεμαι. — 46) ἐπίσταμαι. — 47) κατάγω. — 48) Ueber βίον βιοῦν s. m. kl. gr. Gr. §. 199. 2. gr. gr. Gr. §. 272. über Conj. nach ἐάν kl. Gr. §. 243. n. 4. gr. Gr. §. 329. 2. c. d. 3.

*) 1) Πῶς ἄν τις διακρίνειε κ. τ. λ. Th. 1. S. 232. der Leipz. Ausgabe von 1796. — 2) Das. S. 263. — 3) Πῶς ἄν τις αἴσθοιτο κ. τ. λ. S. 274. — 4) Das. S. 284. — 5) Das. S. 392.

1) δίδωμι. — 2) διέρχομαι. — 3) αἰσθάνομαι.

πεπλευκότα εἰς Σικελίαν, κακόν τι σὲ ποιῆσαι βουλόμενον, οὐκ ἔχοντα δὲ καιρὸν, ἆρ᾽ ἂν ἐάσειας αὐτὸν ἐκπλεῦσαι, καὶ περιΐδοις [4]) ἀθῷον ἀπαλλαγέντα; Πολλοῦ δέω, εἶπεν ὁ Διονύσιος, ὦ Πλάτων· δεῖ γὰρ οὐ τὰ ἔργα τῶν ἐχθρῶν μόνον, ἀλλὰ καὶ τὴν προαίρεσιν μισεῖν καὶ κολάζειν. Εἰ τοίνυν, εἶπεν ὁ Πλάτων, ἐπ᾽ εὐνοίᾳ τὶς ἀφιγμένος τῇ σῇ δεῦρο, βούλεται μὲν ἀγαθοῦ τινος αἴτιός σοι γενέσθαι, σὺ δὲ καιρὸν οὐ παρέχεις, ἄξιόν ἐστι τοῦτον ἀχαρίστως προέσθαι [5]) καὶ ὀλιγώρως; Ἐρωτήσαντος δὲ τοῦ Διονυσίου, τίς οὗτός ἐστιν, Αἰσχίνης, εἶπεν, ἀνὴρ τῷ τε ἤθει παρ᾽ ὁντινοῦν τῶν Σωκράτους ἑταίρων ἐπιεικὴς, καὶ τῷ λόγῳ δυνατὸς ἐπανορθοῦν, οἷς συνείη [6])· πλεύσας δὲ δεῦρο πολλὴν θάλατταν, ὡς συγγένοιτό [7]) σοι διὰ φιλοσοφίας, ἠμέληται. Ταῦτα οὕτως ἐκίνησε τὸν Διονύσιον, ὥστε τὰς μὲν χεῖρας τῷ Πλάτωνι εὐθὺς περιβαλεῖν [8]) καὶ κατασπάζεσθαι, τὴν εὐμένειαν καὶ μεγαλοφροσύνην ἀγάμενον, τοῦ δ᾽ Αἰσχίνου καλῶς καὶ μεγαλοπρεπῶς ἐπιμεληθῆναι [9]).

2. Diogenes und die Maus.

Περὶ Διογένους τοῦ Σινωπέως ἱστοροῦσιν [10]) ἀρχομένου φιλοσοφεῖν, ὡς Ἀθηναίοις ἦν ἑορτή· καὶ δεῖπνα δημοτελῆ καὶ θέατρα καὶ συνουσίας μετ᾽ ἀλλήλων ἔχοντες, ἐχρῶντο. κώμοις καὶ παννυχίσιν· ὁ δὲ ἔν τινι γωνίᾳ τῆς ἀγορᾶς συνεσπειραμένος ὡς καθευδήσων, ἐνέπιπτεν [11]) εἰς λογισμοὺς τρέποντας αὐτὸν οὐκ ἀτρέμα καὶ θραύοντας, ὡς οὐδ᾽ ἀπὸ μιᾶς ἀνάγκης εἰς ἐπίπονον καὶ ἀλλόκοτον ἥκων βίον, αὐτὸς ὑφ᾽

---

4) Εἴ τινα αἴσθοιο . . . ἂν ἐάσειας καὶ περιΐδοις. M. s. über den conditionalen Optativ. kl. gr. Gr. §. 246. 8. gr. gr. Gr. §. 333. 8. — περιΐδοις von περιοράω. — 5) πρόϊεμαι (προΐημι). — 6) σύνειμι (συνεῖναι). — 7) συγγίγνεσθαι. Ueber den Optat. bey ὡς nach dem Präterito s. m. kl. gr. Gr. §. 251. gr. gr. Gr. §. 389. u. 341. 4. — 8) περιβάλλειν. — 9) Ueber den Infinitiv bey ὥστε s. m. kl. gr. Gr. §. 255. 6. d. gr. gr. Gr. §. 348. 6. d. — 10) sc. οἱ ἄνθρωποι, wie das Latein. dicunt, ferunt, narrant. — 11) ἐμπίπτω.

ἑαυτοῦ κάθηται τῶν ἀγαθῶν ἁπάντων ἐστερημένος· εἶτα μέντοι μῦν τινα προσερπύσαντα λέγεται περὶ τὰς ψίχας αὐτοῦ τῆς μάζης ἀναστρέφεσθαι· τὸν δὲ αὖθις ἀναφέρειν τῷ φρονήματι, καὶ λέγειν πρὸς ἑαυτὸν, οἷον ἐπιπλήττοντα καὶ κακίζοντα· Τί φῄς, ὦ Διόγενες; τοῦτον μὲν εὐωχεῖ τὰ σὰ λείμματα καὶ τρέφει, σὺ δ' ὁ γενναῖος, ὅτι μὴ μεθύεις ἐκεῖ κατακείμενος ἐν ἁπαλοῖς καὶ ἀνθινοῖς στρώμασιν, ὀδύρῃ καὶ θρηνεῖς σεαυτόν;

3. Die Beobachtung eine Lehrerin der Weisheit.

Οἱ ἐν τῇ φιλοσοφίᾳ προκόπτοντες οὐκ ἀπὸ λόγων μόνον, ἀλλὰ καὶ θεαμάτων καὶ πραγμάτων πάντων ὠφελεῖσθαι δύνανται, καὶ συνάγειν τὸ οἰκεῖον καὶ χρήσιμον· οἷα καὶ περὶ Αἰσχύλου λέγουσι καὶ περὶ ἄλλων ὁμοίων. Αἰσχύλος μὲν γὰρ Ἰσθμοῖ θεώμενος ἀγῶνα πυκτῶν, ἐπεὶ πληγέντος ἑτέρου τὸ θέατρον ἐξέκραγε, νύξας Ἴωνα τὸν Χῖον, Ὁρᾷς, ἔφη, οἷον ἡ ἄσκησίς ἐστιν; ὁ πεπληγὼς σιωπᾷ, οἱ δὲ θεώμενοι βοῶσι. Ὁ Βρασίδας δὲ μῦν τινα συλλαβὼν[12]) ἐν ἰσχάσι, καὶ δηχθεὶς[13]), ἀφῆκεν· εἶτα πρὸς ἑαυτὸν, Ὦ Ἡράκλεις, ἔφη, ὡς οὐδέν ἐστι μικρὸν οὐδ' ἀσθενὲς, ὃ μὴ ζήσεται, τολμῶν ἀμύνασθαι. Διογένης δὲ τὸν πίνοντα ταῖς χερσὶ θεασάμενος, ἐξέβαλε[14]) τῆς πήρας τὸ ποτήριον. Οὕτω τὸ προσέχειν[15]) καὶ τετάσθαι[16]) τὴν ἄσκησιν αἰσθητικοὺς καὶ δεκτικοὺς ποιεῖ τῶν πρὸς ἀρετὴν φερόντων πανταχόθεν.

4. Fortschritte in der Selbstbeherrschung.

Βίας μὲν ἠξίου τοὺς συνήθεις οἴεσθαι προκόπτειν, ὅταν τῶν λοιδορούντων οὕτως ἀκούωσιν[17]), ὡς λεγόντων,

Ὦ ξεῖν', ἐπεὶ οὔτε κακῷ οὔτ' ἄφρονι φωτὶ ἔοικας,

---

12) συλλαμβάνω. — 13) δάκνω. — 14) ἐκβάλλω. — 15) προσέχω. — 16) τείνω. — 17) Ueber das Particip bey ἀκούω u. a. Verbis s. m. kl. gr. Gr. §. 223. 2. gr. gr. Gr. §. 297. 3. — Ueber den Conj. nach ὅταν kl. Gr. §. 242. 7. gr. Gr. §. 321. 6.

Οὖλέ [18]) τε καὶ μέγα χαῖρε, θεοί νύ τοι ὄλβια δοῖεν *) [19]).

Πύῤῥωνα δέ φασι πλέοντα καὶ κινδυνεύοντα χειμῶνι δελφάκιόν τι δεῖξαι χρώμενον ἀσμένως κριθαῖς παρακεχυμέναις [20]), καὶ εἰπεῖν πρὸς τοὺς ἑταίρους, ὅτι τοιαύτην ἀπάθειαν παρασκευαστέον ἐκ λόγου καὶ φιλοσοφίας τὸν ὑπὸ τῶν προστυγχανόντων [21]) διαταράττεσθαι μὴ βουλόμενον.

5. Trost der Arsinoe.

Φασί τινα τῶν ἀρχαίων φιλοσόφων εἰσιόντα [22]) πρὸς Ἀρσινόην τὴν βασίλισσαν, πενθοῦσαν τὸν υἱὸν, τοιούτῳ χρήσασθαι λόγῳ, φάμενον [23]), ὅτι, Καθ' ὃν χρόνον ὁ Ζεὺς ἔνεμε τοῖς δαίμοσι τὰς τιμὰς, οὐκ ἔτυχε [24]) παρὸν [25]) τὸ Πένθος· ἤδη δὲ νενεμημένων, ἦλθεν ὕστερον· τὸν οὖν Δία, ὡς ἠξίου καὶ αὐτῷ τιμὴν διδόναι, ἀποροῦντα, διὰ τὸ ἤδη καταναλῶσθαι [26]) πάσας τοῖς ἄλλοις, ταύτην αὐτῷ δοῦναι τὴν ἐπὶ τοῖς τελευτήσασι γιγνομένην, οἷον δάκρυα καὶ λύπας· ὥσπερ οὖν τοὺς ἄλλους δαίμονας, ὑφ' ὧν τιμῶνται, τούτους ἀγαπᾷν, τὸν αὐτὸν τρόπον καὶ τὸ Πένθος, ἐὰν μὲν αὐτὸ ἀτιμάσῃς, ὦ γύναι, οὐ προσελεύσεταί σοι· ἐὰν δὲ τιμᾶται ὑπὸ σοῦ ἐπιμελῶς ταῖς δοθείσαις αὐτῷ τιμαῖς, λύπαις καὶ θρήνοις, ἀγαπήσει τε καὶ ἀεί τί σοι παρέξεται [27]) τοιοῦτον, ἐφ' ᾧ τιμηθήσεσθαι [27*]) παρὰ σοῦ συνεχῶς. Θαυμασίως δὲ φαίνεται τῷ λόγῳ πείσας οὗτος παρελέσθαι [28]) τῆς ἀνθρώπου τὸ πένθος καὶ τοὺς θρήνους.

---

18) οὔλω. — *) Zwey Verse, die bey Homer an verschiedenen Stellen Od. ζ, 187. und ω, 402. in freundlicher Begrüßung stehn, und hier zu gleichem Zwecke verbunden werden. — 19) δίδωμι. Ueber den Optat. s. m. kl. gr. Gr. §. 219. 3. a. gr. gr. Gr. §. 293. 3. a. — 20) παραχέω. — 21) προστυγχάνω. — 22) εἴσειμι (εἰσιέναι). — 23) φημί. — 24) τυγχάνω. — 25) Ueber das Particip bey τυγχάνω s. m. kl. gr. Gr. §. 223. 3. gr. gr. Gr. §. 297. 4. — 26) καταναλίσκω. — Ueber den Inf. nach διά s. kl. Gr. §. 222. n. 1. u. 2. gr. Gr. §. 296. 1. 2. — 27) ἐὰν ... ἀτιμάσῃς ...... παρέξεται. M. s. hierüber kl. gr. Gr. §. 246. 5. gr. gr. Gr. §. 333. 5. — παρέξεται von παρέχομαι (παρέχω). — 27*) ἐφ' ᾧ mit dem Inf. kl. Gr. §. 255. 3. gr. Gr. §. 348. 3. — 28) παραιρέομαι (οῦμαι).

Vierter Abschnitt.

Aus Plato *).

1. Ursprung und Geschäft der Cicaden.

Λέγεται, ὥς ποτ᾽ ἦσαν οἱ τέττιγες ἄνθρωποι [1]) τῶν πρὶν Μούσας γεγονέναι· γενομένων δὲ Μουσῶν καὶ φανείσης ᾠδῆς, οὕτως ἄρα τινὲς τῶν τότε [2]) ἐξεπλάγησαν ὑφ᾽ ἡδονῆς, ὥςτε ᾄδοντες ἠμέλησαν σίτων τε καὶ ποτῶν, καὶ ἔλαθον τελευτήσαντες [3]) αὑτούς. ἐξ ὧν τὸ τεττίγων γένος μετ᾽ ἐκεῖνο φύεται, γέρας τοῦτο παρὰ Μουσῶν λαβὸν [4]), μηδὲν τροφῆς δεῖσθαι γενόμενον, ἀλλ᾽ ἄσιτόν τε καὶ ἄποτον εὐθὺς ᾄδειν, ἕως ἂν τελευτήσῃ [4]), καὶ μετὰ ταῦτα ἐλθὸν [5]) παρὰ Μούσας ἀπαγγέλλειν, τίς τίνα αὐτῶν τιμᾷ τῶν ἐνθάδε. Τερψιχόρῃ μὲν οὖν τοὺς ἐν τοῖς χοροῖς τετιμηκότας αὐτὴν ἀπαγγέλλοντες ποιοῦσι προσφιλεστέρους, τῇ δὲ Ἐρατοῖ τοὺς ἐν τοῖς Ἐρωτικοῖς, καὶ ταῖς ἄλλαις οὕτω, κατὰ τὸ εἶδος ἑκάστης τιμῆς. τῇ δὲ πρεσβυτάτῃ Καλλιόπῃ καὶ τῇ μετ᾽ αὐτὴν Οὐρανίᾳ τοὺς ἐν φιλοσοφίᾳ διάγοντάς τε καὶ τιμῶντας τὴν ἐκείνων μουσικὴν ἀγγέλλουσιν, αἳ δὴ μάλιστα τῶν Μουσῶν περί τε οὐρανὸν καὶ λόγους οὖσαι θείους τε καὶ ἀνθρωπίνους ἱᾶσι [6]) καλλίστην φωνήν.*

---

*) 1) Aus Phädrus S. 259. — 2) Gorgias S. 523. ff. — 3) Phädon S. 110.

1) Anstatt *Λέγονταί ποτ᾽ εἶναι οἱ τέττιγες ἄνθρωποι.* — 2) *τῶν τότε*, der damaligen. 3) M. s. über das Particip. bey *λανθάνω* kl. gr. Gr. §. 723. 3. gr. gr. Gr. §. 297. 4. — 4) *λαμβάνω.* — 4*) *ἕως ἂν* m. Conj. kl. Gr. §. 254. n. 6. gr. Gr. §. 346. n. 9. — 5) *ἔρχομαι.* — 6) *ἵημι*, sehr häufig so mit *φωνὴ* verbunden, *ἱέναι φωνήν*, wie edere vocem.

2. Einsetzung der Richter in der Unterwelt.

Ὥς περ Ὅμηρος λέγει, διενείμαντο τὴν ἀρχὴν ὁ Ζεὺς καὶ ὁ Ποσειδῶν καὶ ὁ Πλούτων, ἐπειδὴ παρὰ τοῦ πατρὸς παρέλαβον· ἦν οὖν νόμος ὅδε περὶ ἀνθρώπων ἐπὶ Κρόνου, καὶ ἀεὶ καὶ νῦν ἔτι ἔστιν ἐν θεοῖς, τῶν ἀνθρώπων τὸν μὲν δικαίως τὸν βίον διελθόντα [7]) καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ [7*]), ἐς μακάρων νήσους ἀπιόντα [8]) οἰκεῖν ἐν πάσῃ εὐδαιμονίᾳ ἐκτὸς κακῶν, τὸν δὲ ἀδίκως καὶ ἀθέως εἰς τὸ τῆς τίσεώς τε καὶ δίκης δεσμωτήριον, ὃ δὴ τάρταρον καλοῦσιν, ἰέναι [9]). τούτων δὲ δικασταὶ ἐπὶ Κρόνου καὶ ἔτι νεωστὶ τοῦ Διὸς τὴν ἀρχὴν ἔχοντος ζῶντες ἦσαν ζώντων, ἐκείνῃ τῇ ἡμέρᾳ δικάζοντες ᾗ μέλλοιεν τελευτᾶν· κακῶς οὖν αἱ δίκαι ἐκρίνοντο. ὅ τε οὖν Πλούτων καὶ οἱ ἐπιμεληταὶ ἐκ μακάρων νήσων ἰόντες [9]) ἔλεγον πρὸς τὸν Δία, ὅτι φοιτῷέν [10]) σφιν ἄνθρωποι ἑκατέρωσε ἀνάξιοι. εἶπεν οὖν ὁ Ζεύς, Ἀλλ' ἐγώ, ἔφη, παύσω τοῦτο γιγνόμενον. νῦν μὲν γὰρ κακῶς αἱ δίκαι δικάζονται. ἀμπεχόμενοι [11]) γάρ, ἔφη, οἱ κρινόμενοι κρίνονται· ζῶντες γὰρ κρίνονται. πολλοὶ οὖν, ἦ δ' ὅς [12]), ψυχὰς πονηρὰς ἔχοντες ἠμφιεσμένοι [13]) εἰσὶ σώματά τε καλὰ καὶ γένη καὶ πλούτους, καὶ ἐπειδὰν ἡ κρίσις ᾖ, ἔρχονται αὐτοῖς πολλοὶ μάρτυρες, μαρτυρήσοντες ὡς δικαίως βεβιώκασιν. οἱ οὖν δικασταὶ ὑπό τε τούτων ἐκπλήττονται, καὶ ἅμα καὶ αὐτοὶ ἀμπεχόμενοι δικάζουσι πρὸ τῆς ψυχῆς τῆς αὐτῶν ὀφθαλμοὺς καὶ ὦτα καὶ ὅλον τὸ σῶμα προκεκαλυμμένοι. ταῦτα δὴ αὐτοῖς πάντα ἐπίπροσθεν γίγνεται, καὶ τὰ αὐτῶν ἀμφιέσματα καὶ τὰ τῶν κρινομένων. πρῶτον μὲν οὖν, ἔφη, παυστέον ἐστὶ προειδότας [14]) αὐτοὺς τὸν θάνατον· νῦν γὰρ προΐσασι [14]). του-

---

7) διέρχομαι. — 7*) ἐπειδάν aus ἐπειδὴ ἄν, Zeitpartikel nebst ἄν mit dem Conj. kl. Gr. §. 242. 6. gr. Gr. §. 324. n. 2. — 8) ἔπειμι (ἐπιέναι). — 9) εἶμι. — 10) M. s. über den Optat. kl. gr. Gr. §. 250. 4. gr. gr. Gr. §. 338. 4. — 11) ἀμπέχω. — 12) Ueber die Form ἦ (i. e. ἔφην) δ' ὅς s. m. gr. gr. Gr. §. 122. 9. — 13) ἀμφιέννυμαι. — 14) πρόοιδα (προειδέναι).

το μὲν οὖν καὶ δὴ εἴρηται τῷ Προμηθεῖ, ὅπως ἂν παύσῃ [15]) αὐτῶν. ἔπειτα γυμνοὺς κριτέον ἁπάντων τούτων· τεθνεῶτας γὰρ δεῖ κρίνεσθαι. καὶ τὸν κριτὴν δεῖ γυμνὸν εἶναι, τεθνεῶτα, αὐτῇ τῇ ψυχῇ [16]) αὐτὴν τὴν ψυχὴν θεωροῦντα ἐξαίφνης ἀποθανόντος [17]) ἑκάστου, ἔρημον πάντων τῶν συγγενῶν, καὶ καταλιπόντα ἐπὶ τῆς γῆς πάντα ἐκεῖνον τὸν κόσμον, ἵνα δικαία ἡ κρίσις ᾖ [18]). ἐγὼ μὲν οὖν ταῦτα ἐγνωκὼς [19]) πρότερος ἢ ὑμεῖς ἐποιησάμην δικαστὰς υἱεῖς ἐμαυτοῦ, δύο μὲν ἐκ τῆς Ἀσίας, Μίνων τε καὶ Ῥαδαμάνθυν, ἕνα δὲ ἐκ τῆς Εὐρώπης, Αἰακόν. οὗτοι οὖν, ἐπειδὰν τελευτήσωσι, δικάσουσιν ἐν τῷ λειμῶνι, ἐν τῇ τριόδῳ, ἐξ ἧς φέρετον τὼ ὁδώ, ἡ μὲν εἰς μακάρων νήσους, ἡ δ' εἰς τάρταρον. καὶ τοὺς μὲν ἐκ τῆς Ἀσίας Ῥαδάμανθυς κρινεῖ, τοὺς δὲ ἐκ τῆς Εὐρώπης Αἰακός· Μίνῳ δὲ πρεσβεῖα δώσω, ἐπιδιακρίνειν, ἐὰν ἀπορῆτόν τι τὼ ἑτέρω, ἵνα ὡς δικαιοτάτη ἡ κρίσις ᾖ περὶ τῆς πορείας τοῖς ἀνθρώποις. — Ἔνδηλα μὲν οὖν πάντα ἐστὶν ἐν τῇ ψυχῇ, ἐπειδὰν γυμνωθῇ τοῦ σώματος, τά τε τῆς φύσεως καὶ τὰ παθήματα, ἃ διὰ τὴν ἐπιτήδευσιν ἑκάστου πράγματος ἔσχεν [20]) ἐν τῇ ψυχῇ ὁ ἄνθρωπος. Ἐπειδὰν οὖν ἀφίκωνται παρὰ τὸν δικαστήν, οἱ μὲν ἐκ τῆς Ἀσίας πρὸς τὸν Ῥαδάμανθυν, ὁ Ῥαδάμανθυς ἐκείνους ἐπιστήσας [21]) θεᾶται ἑκάστου τὴν ψυχήν, οὐκ εἰδὼς [22]) ὅτου ἐστὶν, ἀλλὰ πολλάκις τοῦ μεγάλου βασιλέως ἐπιλαβόμενος [23]) ἢ ἄλλου ὁτουοῦν βασιλέως ἢ δυνάστου κατεῖδεν [24]) οὐδὲν ὑγιὲς ὂν τῆς ψυχῆς, ἀλλὰ διαμεμαστιγωμένην καὶ οὐλῶν μεστὴν ὑπὸ ἐπιορκιῶν καὶ ἀδικίας, ἃ ἑκάστῳ ἡ πρᾶξις αὐτοῦ ἐξωμόρξατο εἰς τὴν ψυχὴν, καὶ πάντα σκολιὰ ὑπὸ ψεύδους καὶ ἀλαζονείας

---

15) Ueber den Conj. bey ὅπως ἄν s. m. kl. gr. Gr. §. 252. — 16) mit der Seele selbst. — 17) ἀποθνήσκω. — 18) M. s. über den Conj. kl. gr. Gr. §. 251. gr. gr. Gr. §. 339. u. 340. 2. 19) γιγνώσκω. — 20) ἔχω. — 21) ἐφίστημι. — 22) οἶδα. — 23) ἐπιλαμβάνομαι. — 24) καθοράω.

καὶ οὐδὲν εὐθὺ διὰ τὸ ἄνευ ἀληθείας τεθράφθαι [24*]), καὶ ὑπ᾽ ἐξουσίας καὶ τρυφῆς καὶ ὕβρεως καὶ ἀκρατίας τῶν πράξεων ἀσυμμετρίας τε καὶ αἰσχρότητος γέμουσαν τὴν ψυχὴν εἶδεν [25]). ἰδὼν [25]) δὲ ἀτίμως ταύτην ἀπέπεμψεν εὐθὺ τῆς φρουρᾶς, οἷ μέλλει ἐλθοῦσα ἀνατλῆναι [26]) τὰ προσήκοντα πάθη. προσήκει δὲ παντὶ τῷ ἐν τιμωρίᾳ ὄντι, ὑπ᾽ ἄλλου ὀρθῶς τιμωρουμένῳ, ἢ βελτίονι γίγνεσθαι καὶ ὀνίνασθαι [27]), ἢ παραδείγματι τοῖς ἄλλοις γίγνεσθαι, ἵνα ἄλλοι ὁρῶντες πάσχοντα ἃ ἂν πάσχῃ [28]), φοβούμενοι βελτίους γίγνωνται. εἰσὶ δὲ οἱ μὲν ὠφελούμενοί τε καὶ δίκην διδόντες ὑπὸ θεῶν τε καὶ ἀνθρώπων οὗτοι, οἳ ἂν ἰάσιμα ἁμαρτήματα ἁμάρτωσιν [29]). ὅμως δὲ δι᾽ ἀλγηδόνων καὶ ὀδυνῶν γίγνεται αὐτοῖς ἡ ὠφέλεια καὶ ἐνθάδε καὶ ἐν Ἅιδου· οὐ γὰρ οἷόν τε ἄλλως ἀδικίας ἀπαλλάττεσθαι. οἳ δ᾽ ἂν τὰ ἔσχατα ἀδικήσωσι καὶ διὰ τοιαῦτα ἀδικήματα ἀνίατοι γένωνται, ἐκ τούτων τὰ παραδείγματα γίγνεται, καὶ οὗτοι αὐτοὶ μὲν οὐκέτι ὀνίνανται [27]) οὐδέν, ἅτε ἀνίατοι ὄντες, ἄλλοι δὲ ὀνίνανται [27]) οἱ τούτους ὁρῶντες διὰ τὰς ἁμαρτίας τὰ μέγιστα καὶ ὀδυνηρότατα καὶ φοβερώτατα πάθη πάσχοντας [30]) τὸν ἀεὶ χρόνον [31]), ἀτεχνῶς παραδείγματα ἀνηρτημένους ἐκεῖ ἐν Ἅιδου [32]), ἐν τῷ δεσμωτηρίῳ, τοῖς ἀεὶ τῶν ἀδίκων ἀφικνουμένοις [31]) θεάματα καὶ νουθετήματα. Ἐνίοτε δ᾽ ἄλλην εἰσιδὼν [33]) ὁσίως βεβιωκυῖαν καὶ μετ᾽ ἀληθείας, ἀνδρὸς ἰδιώτου ἢ ἄλλου τινός,

---

24*) τρέφεσθαι. Ueber die Constr. s. kl. Gr. §. 222. n. 1. 2. gr. Gr. §. 296. 1. 2. — 25) ὁράω. — 26) ἀνάτλημι s. ἀνατλάω. — 27) ὀνίνημι. — 28) Ueber den Conj. nach dem Relat. mit ἂν s. m. kl. gr. Gr. §. 254. 5. gr. gr. Gr. §. 346. 10. a. — 29) Ueber ἁμαρτήματα ἁμαρτάνειν s. m. kl. gr. Gr. §. 199. 2. gr. gr. Gr. §. 272. — 30) Ueber πάθη πάσχειν s. m. die No. 29. citirt. §§. der kl. u. gr. gr. Gr. — 31) τὸν ἀεὶ χρόνον, die jedesmalige Zeit — τοῖς ἀεὶ ἀφικνουμένοις, den jedesmaligen Ankommenden. 32) sc. δώματι. M. s. hierüber kl. gr. Gr. §. 238. 4. a. gr. gr. Gr. §. 318. 5. a. — 33) εἰσοράω.

μάλιστα μέν, ἔγωγέ φημι, φιλοσόφου τὰ αὑτοῦ πράξαντος, καὶ οὐ πολυπραγμονήσαντος ἐν τῷ βίῳ, ἠγάσθη τε καὶ εἰς μακάρων νήσους ἀπέπεμψε. ταὐτὰ δὲ ταῦτα καὶ ὁ Αἰακός. ἑκάτερος δὲ τούτων ῥάβδον ἔχων δικάζει. ὁ δὲ Μίνως ἐπισκοπῶν κάθηται μόνος, ἔχων χρυσοῦν σκῆπτρον, ὥς φησιν Ὀδυσσεὺς ὁ Ὁμήρου ἰδεῖν αὐτὸν

Χρύσεον σκῆπτρον ἔχοντα, θεμιστεύοντα νέκυσσιν*).

3. Aufenthalt der Seligen.

Λέγεται μὲν ἐκεῖ εἶναι τοιαύτη ἡ γῆ αὐτὴ ἰδεῖν, εἴ τις ἄνωθεν θεῷτο αὐτὴν, ὥσπερ αἱ δωδεκάσκυτοι σφαῖραι, ποικίλη, χρώμασι διειλημμένη[34]), ὧν καὶ τὰ ἐνθάδε εἶναι χρώματα ὥςπερ δείγματα, οἷς δὴ οἱ γραφεῖς καταχρῶνται. ἐκεῖ δὲ πᾶσαν τὴν γῆν ἐκ τοιούτων εἶναι, καὶ πολὺ ἔτι ἐκ λαμπροτέρων καὶ καθαρωτέρων ἢ τούτων· τὴν μὲν γὰρ ἁλουργῆ εἶναι καὶ θαυμαστὴν τὸ κάλλος, τὴν δὲ χρυσοειδῆ, τὴν δὲ ὅση λευκὴ γύψου ἢ χιόνος λευκοτέραν, καὶ ἐκ τῶν πολλῶν χρωμάτων ξυγκειμένην ὡςαύτως, καὶ ἔτι πλειόνων καὶ καλλιόνων ἢ ὅσα ἡμεῖς ἑωράκαμεν[35]). καὶ γὰρ αὐτὰ ταῦτα τὰ κοῖλα αὐτῆς, ὕδατός τε καὶ ἀέρος ἔμπλεα ὄντα, χρώματός τι εἶδος παρέχεσθαι[36]) στίλβοντα ἐν τῇ τῶν ἄλλων χρωμάτων ποικιλίᾳ, ὥστε ἕν τι αὐτῆς εἶδος ξυνεχὲς ποικίλον φαντάζεσθαι. ἐν δὲ ταύτῃ οὔσῃ τοιαύτῃ ἀνὰ λόγον τὰ φυόμενα φύεσθαι, δένδρα τε καὶ ἄνθη καὶ τοὺς καρπούς· καὶ αὖ τὰ ὄρη ὡςαύτως καὶ

---

*) Odyss. λ, 569.
34) διαλαμβάνω.
35) ὁράω.
36) παρέχομαι (παρέχω).

τοὺς λίθους ἔχειν ἀνὰ τὸν αὐτὸν λόγον τήν τε λειότητα καὶ τὴν διαφάνειαν καὶ τὰ χρώματα καλλίω· ὧν καὶ τὰ ἐνθάδε λιθίδια εἶναι ταῦτα τὰ ἀγαπώμενα μόρια, σάρδιά τε καὶ ἰάσπιδας καὶ σμαράγδους καὶ πάντα τὰ τοιαῦτα· ἐκεῖ δὲ οὐδὲν ὅ,τι οὐ τοιοῦτον εἶναι καὶ ἔτι τούτων κάλλιον. τὸ δ' αἴτιον τούτου εἶναι, ὅτι ἐκεῖνοι οἱ λίθοι καθαροί εἰσι καὶ οὐ κατεδηδεσμένοι [37]) οὐδὲ διεφθαρμένοι, ὥσπερ οἱ ἐνθάδε, ὑπὸ σηπεδόνος καὶ ἅλμης, ὑπὸ τῶν δεῦρο ξυνεῤῥυηκότων [38]), ἃ καὶ λίθοις καὶ γῇ καὶ τοῖς ἄλλοις ζώοις τε καὶ φυτοῖς αἴσχη τε καὶ νόσους παρέχει. τὴν δὲ γῆν αὐτὴν κεκοσμῆσθαι τούτοις τε ἅπασι καὶ ἔτι χρυσῷ τε καὶ ἀργύρῳ καὶ τοῖς ἄλλοις αὖ τοιούτοις· ἐκφανῆ γὰρ αὐτὰ πεφυκέναι, ὄντα πολλὰ πλήθει καὶ μεγάλα καὶ πανταχοῦ τῆς γῆς, ὥστε αὐτὴν ἰδεῖν εἶναι θέαμα εὐδαιμόνων θεατῶν. ζῶα δ' ἐπ' αὐτῆς εἶναι ἄλλα τε πολλὰ καὶ ἀνθρώπους, τοὺς μὲν ἐν μεσογαίᾳ οἰκοῦντας, τοὺς δὲ περὶ τὸν ἀέρα, ὥσπερ ἡμεῖς περὶ τὴν θάλατταν, τοὺς δὲ ἐν νήσοις, ἃς περιῤῥεῖν τὸν ἀέρα πρὸς τῇ ἠπείρῳ οὔσας· καὶ ἑνὶ λόγῳ, ὅ περ ἡμῖν τὸ ὕδωρ καὶ ἡ θάλαττά ἐστι πρὸς τὴν ἡμετέραν χρείαν, τοῦτο ἐκεῖ τὸν ἀέρα, ὃ δὲ ἡμῖν ὁ ἀὴρ, ἐκείνοις τὸν αἰθέρα. τὰς δὲ ὥρας αὐτοῖς κρᾶσιν ἔχειν τοιαύτην, ὥστε ἐκείνους ἀνόσους εἶναι καὶ χρόνον τε ζῆν πολὺ πλείω τῶν ἐνθάδε καὶ ὄψει καὶ ἀκοῇ καὶ φρονήσει καὶ πᾶσι τοῖς τοιούτοις ἡμῶν ἀφεστάναι [39]) τῇ αὐτῇ ἀποστάσει, ᾗ περ ἀήρ τε ὕδατος ἀφέστηκε [39])

---

37) κατέδω.
38) συῤῥέω.
39) ἀφίστημι.

καὶ αἰθὴρ ἀέρος πρὸς καθαρότητα. καὶ δὴ καὶ θεῶν ἕδη τε καὶ ἱερὰ αὐτοῖς εἶναι, ἐν οἷς τῷ ὄντι οἰκητὰς θεοὺς εἶναι, καὶ φήμας τε καὶ μαντείας καὶ αἰσθήσεις τῶν θεῶν καὶ τοιαύτας ξυνουσίας γίγνεσθαι αὐτοῖς πρὸς αὐτούς· καὶ τόν γε ἥλιον καὶ σελήνην καὶ ἄστρα ὁρᾶσθαι ὑπ' αὐτῶν οἷα τυγχάνει ὄντα, καὶ τὴν ἄλλην εὐδαιμονίαν τούτων ἀκόλουθον εἶναι.

7.

Vermischte Beyspiele

zur Uebung im Uebersetzen

aus dem Deutschen in das Griechische

von

Franz Höger.

1.

Wie Macareus[1]) für seine Grausamkeit[2]) von den Göttern gestraft[3]) worden ist.

Der Mitylenäer[1]) Macareus, Priester des Dionysus[2]), war dem Ansehen[3]) nach sanft und gefällig, dabey aber der gottloseste Mensch von Allen. Einst kam[4]) ein Gastfreund zu ihm, und gab ihm eine Summe[5]) Goldes zur Aufbewahrung[6]), welches Macareus in der einen Ecke[7]) des Tempels vergrub[8]). Nach einiger Zeit[9]) kam der Gastfreund wieder zurück und verlangte[10]) sein Gold. Macareus führte[11]) ihn hinein, als wollte er es ihm zurückgeben[12]), ermordete[13]) ihn daselbst, grub[14]) das Gold aus, und legte[15]) anstatt desselben den Gastfreund hinein, und glaubte[16]) so, wie den Menschen, so auch dem Gott verborgen zu seyn. Allein[17]) dieses ging[18]) nicht so[19]); keineswegs[20]). Nach Verlaufe[21]) einiger Zeit kam[22]) das dreyjährige Fest[23]) des Gottes, und Macareus opferte glänzend. Während er mit den Bacchien beschäftiget[24]) war, ahmten seine zwey Söhne, die in dem Hause zurückgelassen[25]) worden waren, den religiösen Dienst[26]) des Vaters nach, traten[27]) zu dem väterlichen Altare, als die Opfer[28]) noch brannten[29]), und der Jüngere bot[30]) seinen Nacken[31])

---

1) Μακαρεὺς, έως, ὁ.
2) ἀπήνεια, ας, ἡ.
3) τιμωρεῖσθαι.

1) Μιτυληναῖος, ου, ὁ. — 2) Διόνυσος, ου, ὁ. — 3) d. Ansehen n. ὅσα ἰδεῖν. — 4) ἥκειν. — 5) πλῆθος, ους, τό. — 6) zur Aufbew. geben, διδόναι, παρακαταθήκη, ης, ἡ. — 7) μυχός, οῦ, ὁ. — 8) κατορύσσειν. — 9) χρόνος, ου, ὁ, u. διαγίγνεσθαι. — 10) ἀπαιτεῖν. — 11) εἰςάγειν. — 12) ἀποδιδόναι. — 13) κατασφάττειν. — 14) ἀνορύσσειν. — 15) κατατιθέναι. — 16) οἴεσθαι. — 17) πλήν. — 18) ἀπαντᾷν. — 19) ταύτῃ. — 20) πόθεν. — 21) διέρχεσθαι. — 22) ἀφικνεῖσθαι. — 23) τριετηρίδες, ων, αἱ. — 24) ἔχειν — περί. Βακχεία, ας, ἡ. — 25) ἀπολείπω. — 26) ἱερουργία, ας, ἡ. — 27) προςέρχεσθαι. — 28) ἔμπυρα, ων, τά. — 29) καίειν. — 30) παρέχειν. — 31) τράχηλος, ου, ὁ. —

dar, indeß der Aeltere ein Opfermesser[32]), das man außer Acht gelassen[33]) hatte, fand, und damit seinen Bruder wie ein Opferthier[34]) tödtete. Als die, welche im[35]) Hause waren, dieses sahen, erhoben sie ein Geschrey[36]). So wie die Mutter das Geschrey[37]) vernahm[38]), sprang[39]) sie heraus, und wie sie den einen todt[40]), den andern aber noch das blutbesprützte[41]) Opfermesser halten[42]) sah, riß[43]) sie ein halbangebranntes[44]) Holz[45]) von dem Altare und tödtete damit den Sohn. Die Nachricht hiervon kam[46]) zu Macareus; er verließ[47]) die Feyer[48]), und sprang[49]), wie er war[50]), mit Toben[51]) und Ungestüm[52]) in das Haus, und tödtete sein Weib mit dem Thyrsusstabe[53]), den er trug[54]). Allen wurde, was begangen[55]) war, sogleich kund[56]). Macareus ward ergriffen[57]), gefoltert[58]) und gestand[59]), was er in dem Tempel verübt[60]) hatte; unter[61]) den Martern[62]) selbst aber gab[63]) er seinen Geist[64]) auf. — Der Gastfreund, der so widerrechtlich[65]) gemordet[66]) worden war, wurde öffentlich[67]) geehrt[68]), und auf Befehl[69]) des Gottes begraben. Macareus büßte[70]) so nicht mit Unrecht[71]) für diese That, nach[72]) dem Worte[73]) des Dichters, mit seinem Leben[74]) und mit dem Leben seines Weibes und seiner Kinder.

2.

Bruderliebe[1]).

Es lohnt[2]) sich den Streit[3]) zweyer Brüder zu verneh-

---

32) σφαγίς, ίδος, ἡ. — 33) ἀμελεῖν. — 34) ἱερεῖον, ου, τό. — 35) κατὰ c. Acc. — 36) ἀναβοᾷν. — 37) βοὴ, ῆς, ἡ. — 38) ἀκούειν. — 39) ἐκπηδᾷν. — 40) νεκρὸς, οῦ, ὁ. — 41) αἱμάσσω. — 42) κατέχειν. — 43) ἁρπάζειν. — 44) ἡμίκαυτος, ὁ, ἡ. — 45) σχίζα, ης, ἡ. — 46) ἥκειν. — 47) ἀπολείπειν. — 48) τελετή, ῆς, ἡ. — 49) εἰςπηδᾷν. — 50) ὡς — ἔχειν. — 51) ὁρμή, ῆς, ἡ. — 52) θυμός, οῦ, ὁ. — 53) θύρσος, ου, ὁ. — 54) κατέχειν. — 55) τολμᾷν. — 56) ἔκπυστος, ὁ, ἡ. — 57) συλλαμβάνειν. — 58) στρεβλοῦν. — 59) ὁμολογεῖν. — 60) δρᾷν. — 61) ἐν. — 62) κόλασις, εως, ἡ. — 63) ἀποῤῥηγνύναι. — 64) ψυχή, ῆς, ἡ. — 65) παρανόμως. — 66) σφάττειν. — 67) δημοσίᾳ. — 68) διά — τιμή, ῆς, ἡ—ἔρχεσθαι. — 69) προστάσσειν. — 70) τίειν — δίκη, ης, ἡ. — 71) οὐ—μεμπτός, ή, όν. — 72) κατά. — 73) ποιητικόν, τό. — 74) κεφαλή, ῆς, ἡ.

1) φιλαδελφία, ας, ἡ. — 2) ἄξιόν ἐστι. — 3) διαδικασία, ας, ἡ.

men[4]), der nicht über einen Theil[5]) eines Landgutes[6]), noch wegen Sclaven oder Heerden[7]), sondern wegen der Herrschaft[8]) über die Perser entstand[9]).

Als Darius gestorben war, wollten die einen, daß Ariamenes[10]) herrsche, der Aelteste des Geschlechtes[11]), die andern, daß Xerxes, als Sohn der Atossa[12]), der Tochter des Cyrus, geboren[13]), da Darius schon König war. Ariamenes zog[14]) aus Medien[15]) herab, nicht feindlich[16]), sondern ruhig[17]), wie[18]) zu einem Gerichte[19]). Xerxes, der anwesend war, that bereits, was einem Könige zusteht[20]). Als sein Bruder ankam, legte[21]) er das Diadem[22]) ab, bog[23]) die Tiara[24]), welche die Könige aufrecht[25]) tragen[26]), um, ging[27]) ihm entgegen, bewillkommte[28]) ihn, schickte ihm voraus Geschenke, und hieß die, welche sie überbrachten[29]), sagen: „Mit diesen ehrt dich nun Xerxes, dein Bruder; wenn er aber durch den Ausspruch[30]) und die Stimme[31]) der Perser wird zum König erklärt[32]) seyn, so gibt er dir die zweyte Stelle[33]) nach sich." Und Ariamenes antwortete: „Die Geschenke nehme ich an; die Herrschaft[34]) aber über die Perser glaube ich gehöre[35]) mir zu. Ehre[36]) werde ich nach mir meinen Brüdern bewahren[37]): unter diesen aber zuerst dem Xerxes." Als der Entscheidungstag[38]) angekommen[39]) war, ernannten[40]) die Perser den Artabanus, den Bruder des Darius, zum Richter; denn also fanden[41]) sie für gut. Xerxes, auf die Menge bauend[42]), vermied[43]) durch ihn gerichtet zu werden[44]). Seine Mutter aber Atossa machte ihm Vorwürfe[45])

---

4) πυνθάνεσθαι. — 5) μερίς, ίδος, ἡ. — 6) γήδιον, ου, τό. — 7) ἀγέλη, ης, ἡ. — 8) ἡγεμονία, ας, ἡ. — 9) γίγνεσθαι. — 10) Ἀριαμένης, ους, ὁ. — 11) γενεά, ᾶς, ἡ. — 12) Ἄτοσσα, ης, ἡ. — 13) γίγνεσθαι. — 14) καταβαίνειν. — 15) Μῆδοι, ων, οἱ. — 16) πολεμικῶς. — 17) ἡσύχως. — 18) ὡς. — 19) δίκη, ης, ἡ. — 20) προσήκειν. — 21) τιθέναι. — 22) διάδημα, τος, τό. — 23) καταβάλλειν. — 24) τιάρα, ας, ἡ. — 25) ὀρθός, ή, όν. — 26) φορεῖν. — 27) ἀπαντᾶν. — 28) ἀσπάζεσθαι. — 29) κομίζειν. — 30) κρίσις, εως, ἡ. — 31) ψῆφος, ου, ἡ. — 32) ἀναγορεύειν. — 33) δεύτερος, α, ον — εἶναι. — 34) βασιλεία, ας, ἡ. — 35) προσήκειν. — 36) τιμή, ῆς, ἡ. — 37) φυλάσσειν. — 38) κρίσις, εως, ἡ. — 39) ἐνστῆναι. — 40) ἀποφαίνειν. — 41) δοκεῖν. — 42) πεποιθέναι. — 43) φεύγειν. — 44) κρίνεσθαι. — 45) ἐπιπλήσσειν.

und sprach: „Warum meidest[46]) du, o Sohn, den Artabanus, deinen Oheim, den vorzüglichsten Mann unter den Persern? Warum fürchtest du so sehr den Kampf, in welchem auch den zweyten Rang[47]) zu erhalten, und der Bruder des Königes der Perser genannt zu werden, schön ist?“ Xerxes ließ sich bereden[48]), und als die Untersuchung[49]) vorbei war[50]), erklärte[51]) Artabanus, daß dem Xerxes die Herrschaft gebühre[52]). Sogleich sprang[53]) Ariamenes auf, verneigte[54]) sich vor seinem Bruder, ergriff[55]) seine Rechte[56]) und setzte[57]) ihn auf den königlichen Thron. Und von da[58]) an war er der größte bey ihm, und erwies[59]) sich ihm wohlgesinnt[60]); so daß er in der Schlacht bey Salamis mit Auszeichnung[61]) für den Ruhm desselben fiel. Dieses soll als ein reines und tadelloses[62]) Beyspiel[63]) des Wohlwollens[64]) und der Hochherzigkeit[65]) aufgestellt[66]) seyn.

